5 20 6 ............. ο ζ λ γ γʹ Δούραβα ............. ο ζ γοʹ λ δ Θάκκονα ............. ο ζ ∠ ʹδ λ δ ∠ ʹ Θελβεγκάνη ............ ο η ∠ ʹ λ ε ∠ ʹ καὶ ἐπὶ μὲν τοῦ διὰ Βαβυλῶνος ῥέοντος ποταμοῦ Βαβυλών ............. ο θ λ ε πρὸς δὲ τῷ Μααρσάρῃ ποταμῷ, Οὐολγαισία ............ ο η γʹ λ δ ∠ ʹ Βάρσιτα .............. ο η ∠ ʹδ λ δ γʹ· ὑπὸ δὲ ταύτας καὶ παρὰ τὰ ἕλη καὶ τὴν Ἔρημον Ἀραβίαν, Βέανα ἢ Βίανα .

5 20 7 ........ ο θ λ γ γοʹ Χούδουκα ............. ο η λ γ γʹ Χούμανα ............. ο θ λ γ ςʹ Καίσα ............... ο ς γοʹ λ β ∠ ʹγ Βηράνδη (ἢ Βεραρίνδα) .... ο ζ ∠ ʹ λ β ∠ ʹ Ὀρχόη ............... ο η ∠ ʹ λ β γοʹ· Βέθανα .

5 20 8 ............. ο θ λ β ∠ ʹγιβʹ Θέλμη ............... ο ς γοʹ λ β Σόρθιδα ............. ο ζ λ α ∠ ʹ Ἰάμβα ............... ο η λ α γʹ Ῥάγεια .............. ο η γοʹ λ α γʹ Χιρίφη (ἢ Χηριφή) ........ ο θ δʹ λ α ςʹ Ῥάττα ............... ο θ δʹ λ ∠ ʹγ Κλαυδίου Πτολεμαίου Γεωγραφικῆς Ὑφηγήσεως Βιβλίον ςʹ.

6 C T Τάδε ἔνεστιν ἐν τῷ ἕκτῳ· Ἔκθεσις τῶν ἐφεξῆς μερῶν τῆς Μεγάλης Ἀσίας [Πίναξ πέμπτος] Ἀσσυρίας, Μηδίας, Σουσιανῆς, Περσίδος, Παρθίας, Καρμανίας Ἐρήμου.

6 C 6 [Πίναξ ἕκτος] Ἀραβίας Εὐδαίμονος, Καρμανίας.

6 C 8 [Πίναξ ἕβδομος] Ὑρκανίας, Μαργιανῆς, Βακτριανῆς, Σογδιανῶν, Σακῶν, Σκυθίας τῆς ἐντὸς Ἰμάου ὄρους [Πίναξ ὄγδοος] Σκυθίας τῆς ἐκτὸς Ἰμάου ὄρους, Σηρικῆς.

6 C 16 [Πίναξ ἔννατος] Ἀρείας, Παροπανισαδῶν, Δραγγιανῆς, Ἀραχωσίας, Γεδρωσίας.

6 C 21 [Γίνονται ἐπαρχίαι κ α , πίνακες ε .] Ἀσσυρίας θέσις.

6 1 T [Ἀσίας πίναξ εʹ.] Ἡ Ἀσσυρία περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ εἰρημένῳ τῆς Μεγάλης Ἀρμενίας μέρει παρὰ τὸν Νιφάτην τὸ ὄρος, ἀπὸ δὲ δύσεως Μεσοποταμίᾳ κατὰ τὸ ἐκτεθειμένον τοῦ Τίγριδος ποταμοῦ μέρος, ἀπὸ δὲ μεσημβρίας Σουσιανῇ κατὰ τὴν ἀπὸ τοῦ Τίγριδος γραμμὴν μέχρι πέρατος, οὗ ἡ θέσις μοῖραι .

6 1 1 ............ π δ λ ς ἀπὸ δὲ ἀνατολῶν Μηδίας μέρει παρὰ τὴν ἐπιζευγνύουσαν τὰ εἰρημένα δύο πέρατα γραμμὴν, ἐφ' ἧς ἐστιν ὁ Χαβώρας τὸ ὄρος, οὗ τὰ πέρατα ἐπέχει μοίρας .......... π λ θ ∠ ʹ καὶ ...................... π γ λ η . Καλεῖται δὲ τῆς χώρας ἡ μὲν παρὰ τὴν Ἀρμενίαν Ἀῤῥαπαχῖτις, ἡ δὲ παρὰ τὴν Σουσιανὴν Σιττακην ἡ· τὰ δὲ μέσα κατέχουσι Γαραμαῖο ι· καλεῖται δὲ καὶ ἡ μεταξὺ τῆς Ἀῤῥαπαχίτιδος καὶ τῶν Γαραμαίων Ἀδιαβην ἡ· ἡ δὲ μεταξὺ τῶν Γαραμαίων καὶ τῆς Σιττακηνῆς Ἀπολλωνιάτις, ἧς ὑπέρκεινται Σαμβάται ἔθνος, ὑπέρκεινται δὲ καὶ τῆς μὲν Ἀδιαβηνῆς ἡ Καλακιν ἡ· τῶν δὲ Γαραμαίων ἡ Ἀρβηλῖτις χώρα Πόλεις δέ εἰσι καὶ κῶμαι τῆς Ἀσσυρίας παρὰ μὲν τὸ τοῦ Τίγριδος μέρος· Μάρδη .

6 1 3 .............. ο ς λ η δʹ Σαύαρα .............. ο ς δʹ λ ζ δʹ Βέσσαρα ............. ο ζ λ ζ γʹ Βελκίανα ............. ο ζ ∠ ʹ λ ζ Νῖνος ............... ο η λ ς γοʹ Σάκαδα .............. ο η ∠ ʹ λ ς ∠ ʹ Ὄροβα ............... ο θ γʹ λ ς γʹ Θέλδη ............... π λ ς Κτησιφών ............. π λ ε ∠ ʹ. ἐν δὲ τῇ λοιπῇ χώρᾳ μέσῃ, Βήθαβα ἢ Βίθαβα .

6 1 4 ...... ο ζ γοʹ λ η γοʹ Δάρθα .............. ο η γʹ λ η ∠ ʹδ Ζίγιρα ............... ο θ γοʹ λ η ∠ ʹδ Δάρνα ............... π ∠ ʹ λ η ∠ ʹ Ὄβανα ............... π α λ θ Θησάρα .............. π α δʹ λ η ∠ ʹ Κόρκουρα ............. ο η γʹ λ η ςʹ Ὄροβα ............... ο θ γʹ λ η ςʹ· Δηγία .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

6 1 5 .............. π ∠ ʹγ λ η ςʹ Κωμόπολις ............ π α ∠ ʹ λ η ςʹ Λόσα ................ ο θ λ ζ ∠ ʹδ Γαυγάμηλα ............ ο θ ∠ ʹ λ ζ δʹ Σάρβηνα ............. ο θ λ ζ Ἄρβηλα .............. π λ ζ δʹ Γόμαρα .............. π γʹ λ ζ ∠ ʹ Φουσίανα ............. π β ςʹ λ ζ γοʹ Εἰσόνη (ἢ Ἰσονόη) ........ π β ςʹ λ ζ γʹ· Σοῦρα .

6 1 6 .............. π γ λ ς γοʹ Χατράχαρτα ἢ Χαιτράχαρτα π ∠ ʹ λ ς ςʹ Ἀπολλωνία ............ π α ςʹ λ ς ∠ ʹ Θηβούρα ............. π β γʹ λ ς ∠ ʹ Ἄῤῥαπα .............. π γ λ ς ∠ ʹ Κίννα ............... π γ γʹ λ ς ςʹ Ἀρτέμιτα ............. π α δʹ λ ς Σιττάκη .............. π β λ ε ∠ ʹ. Ποταμοὶ δὲ διαῤῥέουσι τὴν χώραν συμβάλλοντες τῷ Τίγριδι ποταμῷ, ὅ τε Λύκος, οὗ αἱ μὲν πηγαὶ ἐπέχουσι μοίρας .

6 1 7 ........ ο η λ θ ἡ δὲ πρὸς τὸν Τίγριν συναφὴ μοίρας ..................... ο θ λ ς ∠ ʹ καὶ ὁ Κάπρος ποταμὸς, οὗ αἱ μὲν πηγαὶ ἐπέχουσι μοίρας ......... ο θ λ θ ∠ ʹ ἡ δὲ πρὸς τὸν Τίγριν συναφὴ μοίρας ..................... ο θ λ ς ςʹ καὶ ὁ Γοργὸς, οὗ αἱ μὲν πηγαὶ ἐπέχουσι μοίρας ............... π γʹ λ η ἡ δὲ πρὸς τὸν Τίγριν συναφὴ ἐπέχει μοίρας ................... π λ ε γʹ. Μηδίας θέσις.

6 2 T [Ἀσίας πίναξ εʹ.] Ἡ Μηδία περιορίζεται ἀπὸ μὲν ἄρκτων μέρει τῆς Ὑρκανίας θαλάσσης κατὰ περιγραφὴν τοιαύτην· μετὰ τὸ εἰρημένον πρὸς τῇ Ἀρμενίᾳ πέρας τοῦ Ἀράξου ποταμοῦ, Σάννινα .

6 2 1 ............. π μ γ Καμβύσου ποταμοῦ ἐκβολαί π α μ β ∠ ʹδ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... π μ α Ταζεῖνα .............. π α γοʹ μ β ∠ ʹ Σαβαῖοι Βωμοί .......... π β ∠ ʹ μ β ∠ ʹ Κύρου ποταμοῦ ἐκβολαί .... π γ ∠ ʹ μ β δʹ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... π β λ θ ∠ ʹ· Καδουσίων Χάραξ .

6 2 2 ............... π δ γοʹ μ β Κυρόπολις ............ π ε ∠ ʹ μ α γοʹ (Ἀ)μάρδου ποταμοῦ ἐκβολαί π ς ∠ ʹ μ α ∠ ʹ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... π ε λ η ∠ ʹ τὸ μέσον τῆς συναπτούσης αὐτῷ λίμνης, καλουμένης Μαρτιανῆς ........... π β ∠ ʹ λ θ γʹ Ἄμανα ............... π ζ ∠ ʹ μ γοʹ Ἄκολα ............... π η δʹ μ δʹ Στράτωνος ἢ Στάωνος ποταμοῦ ἐκβολαί .......... ϙ γʹ μ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... π η λ η ∠ ʹ Μανδαγαρσίς ........... ϙ β μ Χαρίνδα ποταμοῦ ἐκβολαί ... ϙγ μ ∠ ʹ τὸ πρὸς τῇ Ὑρκανίᾳ χώρᾳ πέρας .............. ϙ δ μ ∠ ʹ· ἀπὸ δὲ δύσεως τῇ Μεγάλῃ Ἀρμενίᾳ καὶ τῇ Ἀσσυρίᾳ κατὰ τὰς ἐκτεθειμένας αὐτῶν ἀνατολικὰς γραμμὰς, ἀπὸ δὲ μεσημβρίας Περσίδι κατὰ τὴν ἐπιζευγνυμένην γραμμὴν ἀπὸ τοῦ πρὸς τῇ Ἀσσυρίᾳ καὶ τῇ Σουσιανῇ πέρατος μέχρι τοῦ ἐπέχειν μοίρας .

6 2 3 ............. ϙδ λ δ ∠ ʹ καὶ ..................... ρ α λ γ ἐφʹ ἧς ἐστι τὸ δυτικὸν μέρος τοῦ Παραχοάθρου ὄρους· ἀπὸ δὲ ἀνατολῶν Ὑρκανίᾳ καὶ τῇ Παρθίᾳ παρὰ τὴν ἐπιζευγνύουσαν τὰ εἰρημένα πέρατα μεσημβρινὴν γραμμὴν, ἧς τὸ διορίζον μέρος τὴν Ὑρκανίαν ἀπὸ τῆς Παρθίας ἐπέχει μοίρας ... ϙδ λ θ. Ὄρη δέ ἐστιν ὀνομαστὰ τῆς Μηδίας ὅ τε Ζάγρος, οὗ τὸ μέσον ἐπέχει μοίρας .

6 2 4 .. π ε λ η καὶ ὁ Ὀρόντης, οὗ τὸ μέσον ἐπέχει μοίρας ................... π η ∠ ʹ λ η καὶ τὸ Ἰασόνιον, οὗ τὸ μέσον ἐπέχει μοίρας ................ ϙ ∠ ʹ λ ς καὶ τοῦ Κορωνοῦ τὸ δυτικὸν μέρος, οὗ τὸ δυτικὸν πέρας ἐπέχει μοίρας ............ ϙβ λ η καὶ ..................... ρ α λ θ. Κατέχουσι δὲ τῆς Μηδίας τὰ μὲν δυτικὰ παρὰ τὴν Ἀρμενίαν Κάσπιο ι· οἷς ὑπόκειται ἡ Μαρτιαν ή, παρʼ ὅλην τὴν πλευρὰν τῆς Ἀσσυρίας· τὰ δὲ ἐπὶ θαλάσσῃ κατέχουσι καὶ Καδούσιοι, οἱ καὶ Λῆγα ι, καὶ Δρίβυκε ς· μεθʼ οὓς διατείνοντες μέχρι τῆς μεσογαίας Ἀμαριάκα ι· καὶ Μάρδοι (ἢ Ἀμάρδοι?)· κατέχουσι δὲ καὶ τὰ μὲν ἐντὸς πρὸς τῶν Καδουσίων χώραν Καρδοῦχοι, καὶ Μαροῦνδαι, μέχρι τῆς Μαρτιανῆς λίμνης· τὰ δὲ ἐντὸς τῆς τῶν Γηλῶν Μάργασο ι.

6 2 5 μεθʼ οὓς ἡ Τροπατην ή, διατείνει δὲ μέχρι τῶν Ἀμαριακῶν. Καὶ τὰ μὲν ἀνατολικώτερα τοῦ Ζάγρου ὄρους Σαγάρτιο ι· μεθʼ οὓς ἐκτέταται μέχρι τῆς Παρθίας ἡ Χωρομιθρην ή, ἀρκτικωτέραν ἔχουσα τὴν Ἐλυμαΐδα· ἧς τὰ πρὸς ἀνατολὰς κατέχουσι Τάπουρο ι· ἀπὸ δὲ μεσημβρίας εἰσὶ τῆς Χωρομιθρηνῆς οἵ τε Σίδικες, καὶ ἡ Σιγριανικ ή, καὶ ἡ Ῥαγιαν ή, καὶ ἐπὶ τούτων ὑπὸ τὸ Ἰασόνιον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄρος οἵ τε Οὐάδασσοι, καὶ ἡ Δαρεῖτις χώρα, καὶ παρ’ ὅλην τὴν Περσίδα ἡ Συρομηδί α· ἐπέχουσι δὲ καὶ αἱ μὲν τοῦ Ζάγρου Πύλαι μοίρας . [10]

6 2 7 ......... π δ ∠ ′ λ ζ αἱ δὲ Κάσπιαι Πύλαι .......... ϙ δ λ ζ . Πόλεις δέ εἰσι καὶ κῶμαι μεσόγειοι τῆς Μηδίας αἵδε· Σκάβινα .

6 2 8 ............. ο θ ∠ ′ μ β ∠ ′ Γαβάλη .............. π μ β Οὖκα ................ π γο′ μ β ∠ ′ Οὔαρνα .............. π α μ β Κάνδυς .............. π γ ∠ ′ μ β Γαβρίς ............... π μ α γο′ Σωζόα ............... π μ α ς′· Τονζάρμα . [5]

6 2 9 ............ π α ∠ ′ μ α ∠ ′δ Ἄζαγα ............... π α δ′ μ α ς′ Μοροῦνδα ............ π α γο′ μ α ∠ ′ Τιγράνα .............. π γ μ β ∠ ′ Φαράμβαρα ........... π α ς′ μ α γ Ταχάσαρα ............ π δ γ′ μ α· Ζαλάκη . [5]

6 2 10 ............. π ς δ′ μ α Ἀλούακα ............. π γο′ μ ∠ ′ Γαυζανία ............. π β μ γο′ Φάζαβα .............. π β ∠ ′ μ ς′ Φαράσπα ............. π ε ∠ ′ μ ∠ ′ Κοῦρνα .............. π ς δ′ μ ∠ ′ Φανάσπα ............. π ς ∠ ′ μ Γαβρίς ............... π δ γ′ μ γ′ Νάνδη ............... π α γο′ λ θ γο Ζάζακα .............. π ε γο′ λ θ ∠ ′ Σάρακα .............. πε δ′ λ θ γ′· Μανδάγαρα . [10]

6 2 11 ........... π ζ ∠ ′δ λ θ ∠ ′ Ἀγάνζαβα ............. π θ λ θ ∠ ′ Γάλλα ............... ϙ ς′ λ θ δ′ Ὀράκανα ............. ϙ α λ θ ∠ ′ Ἀλικάδρα ἢ Ἀλιδράκα ...... ϙ γ ς′ λ θ Φανάκα .............. ϙ γ λ θ ∠ ′ Νάζαδα .............. π γ λ η Ἀλίνζα ἡ καὶ ὄρος ........ π δ λ η Ἀρσίσακα ............. π ε λ η γο′· Ἀλίσδακα . [5]

6 2 12 ............ π ς γο′ λ η ∠ ′δ Δαριαύσα ............. π ζ ∠ ′ λ η ∠ ′ Σίγκαρ ............... π η λ η ∠ ′γ Βατίνα .............. π θ λ η γο′ Οὐεσάσπη ............ π θ γο′ λ η γο′ Νίγουζα .............. ϙ δ′· λ η Σαναΐς ............... ϙ β λ η γ′ Ῥαζοῦνδα ............. ϙ γ γ′ λ η γο′· Οὐένεκα . [5]

6 2 13 ............. ϙ γ γ′ λ η δ′ Βιθία ............... π ε ∠ ′ λ ζ γο′ Ἀλίνζα ............... π ς ς′ λ ζ ∠ ′δ Ζαρανίς .............. π ς λ ζ Γάβηνα .............. π ζ λ ζ ∠ ′ Λάρασα .............. π ζ ς′ λ ζ ς′· Ἐκβάτανα . [5]

6 2 14 ........... π η λ ζ ∠ ′δ Χόκαστρα ............ π θ λ ζ γο′ Νιφαύανδα ............ π η ∠ ′γ λ ζ ς′ Γουρίαμνα ............ ϙ α λ ζ γ′ Τραύαξα ............. ϙ γ λ ζ γο′ Χόανα ............... ϙ β λ ζ δ′ Αὐραδίς . [5]

6 2 15 ............. ϙ γ γο′ λ ζ δ′ Τιβρακάνα ............ π ς γ′ λ ς Θηβάργα ............. π δ ∠ ′ λ ς γ′ Καρίνη .............. π ε ς′ λ ς γ′ Καβηράσα ............ π ς λ ς ∠ ′ Παράχανα ............ π ζ γο′ λ ς Ἀρσακία . [5]

6 2 16 ............. π η γ′ λ ς ς′ Γαῦνα ............... π η ∠ ′δ λ ς ∠ ′ Ἡράκλεια ............. π θ λ ς γο′ Ζανία ................ ϙ ς′ λ ς ∠ ′γ Ἀρουζίς .............. ϙ α λ ς γ′ Ζαράμα .............. ϙ β γ′ λ ς ∠ ′· Ταυτική . [5]

6 2 17 ............. ϙ γ γ′ λ ς δ′ Εὔρωπος ............. ϙ γ γο′ λ ς γο′ Ἀβάκαινα ............. ϙ γ λ ς Κίγβηνα .............. π ζ λ ε ∠ ′ιβ′ Δόθθα .............. π η γ′ λ ε γιβ′ Γέρεπα .............. π θ γο′ λ ε γ′· Ῥάψα . [5]

6 2 18 .............. ϙ ς′ λ ε γο′ Ἀνδρίακα ............. ϙ α λε ς′ Κλούακα ............. ϙ β γ′ λ ε ς′ Ἀργαραύσδακα .......... ϙ γ γ′ λ ε γ′ Κάναθα .............. ϙ ∠ ′ λ δ ∠ ′δ Ἀραδρίφη ............. ϙ γ γ′ λ δ ∠ ′δ. Σουσιανῆς θέσις. [5]

6 3 T [Ἀσίας πίναξ ε′.] Ἡ Σουσιανὴ περιορίζεται ἀπὸ μὲν ἄρκτων Ἀσσυρίᾳ κατὰ τὴν διωρισμένην αὐτῆς πλευρὰν, ἀπὸ δὲ δύσεως Βαβυλωνίᾳ παρὰ τὸ ἐκτεθειμένον τοῦ Τίγριδος μέχρι θαλάσσης μέρος, ἀπὸ δ’ ἀνατολῶν Περσίδι κατὰ τὴν ἐπιζευγνυμένην γραμμὴν, ἀπὸ τοῦ εἰρημένου πρὸς τῇ Ἀσσυρίᾳ καὶ τῇ Μηδίᾳ πέρατος μέχρι τῶν εἰς τὸν Περσικὸν κόλπον ἐκβολῶν τοῦ Ὀροάτιδος ποταμοῦ· ἀπὸ δὲ μεσημβρίας τῷ ἀπὸ τοῦ Τίγριδος μέρει τοῦ Περσικοῦ κόλπου μέχρι τῶν τοῦ Ὀροάτιδος ποταμοῦ ἐκβολῶν, αἳ ἐπέχουσι μοίρας . [10]

6 3 1 ............ π ς ∠ ′ λ ∠ ′ κατὰ περιγραφὴν τοιαύτην· Τὸ δυτικὸν στόμα τοῦ Τίγριδος ἐν τῇ περιγραφῇ τῆς Βαβυλωνίας ἔκκειται .

6 3 2

.. ο θ ⦣ ʹ λ δʹ· τὸ ἀνατολικὸν στόμα τοῦ Τίγριδος ποταμοῦ ἐκβολῶν ............ π ⦣ ʹ λ α Χάραξ Πασινοῦ ............ π α λ α Μωσαίου ποταμοῦ ἐκβολαί ...... π β λ γοʹ αἱ πηγαὶ τοῦ ποταμοῦ ......... π β ⦣ ʹ λ γ Πηλώδης κόλπος ............ π γ λ α Εὐλαίου ποταμοῦ ἐκβολαί ....... π δ ⦣ ʹ λ γοʹ αἱ ἐν τῇ Σουσιανῇ πηγαὶ τοῦ ποταμοῦ .................. π γ λ ε αἱ ἐν τῇ Μηδίᾳ πηγαὶ τοῦ ποταμοῦ π ς λ η Τέναγος Ἀμμῶδες ........... π δ ⦣ ʹ λ ⦣ ʹ Ὀροάτιδος ποταμοῦ ἐκβολαί ..... π ς ⦣ ʹ λ ⦣ ʹ αἱ πηγαὶ τοῦ ποταμοῦ ......... π η ⦣ ʹ λ δ γοʹ. Κατέχουσι δὲ τῆς Σουσιανῆς τὰ μὲν ἐπὶ θαλάσσῃ Ἐλυμαῖοι, τὰ δὲ πρὸς τῇ Ἀσσυρίᾳ Κοσσαῖο ι· καλεῖται δὲ καὶ ἡ μὲν παρὰ τὸν Τίγριν χώρα Μελιτην ή, ἡ δὲ παρὰ τὴν Περσίδα Καβανδην ή, ἡ δʼ ὑπὲρ τὸν Χάρακα Χαρακην ή· μεταξὺ δὲ ὑπὲρ μὲν τοὺς Ἐλυμαίους ἡ Κυσσία, ὑπὲρ δὲ αὐτὴν ἡ Χαλταπῖτις, ἧς μεταξὺ καὶ τῆς Κυσσίας πεδίον Δερη ά.

6 3 4 Πόλεις δέ εἰσιν ἐν τῇ Σουσιανῇ καὶ κῶμαι παρὰ μὲν τὸν Τίγριν ποταμὸν μεταξὺ τοὺς Ἡρακλέους Βωμοὺς, οἳ ἐπέχουσι μοίρας ... π λ β γʹ Ἄγρα ................ π ⦣ ʹ λ γ ⦣ ʹδ Ἄρακκα .............. π ςʹ λ β γοʹ Ἀσία ................ π ςʹ λ α γοʹ· Ἐν δὲ τῇ μεσογείᾳ πόλεις, Παλίνζα .

6 3 5 ............. π γ ⦣ ʹδ λ ε ⦣ ʹ Σακρόνη .............. π β ⦣ ʹδ λ ε Βέργαν .............. π δ δʹ λ δ ⦣ ʹδ Σοῦσα ................ π δ λ δ δʹ Σαῦρα ................ π ε λ γ ⦣ ʹδ Δῆρα ................ π β ⦣ ʹ λ γ γοʹ Ἀγάῤῥα .............. π γ γοʹ λ γ γʹ Ἀβίννα ............... π ε ςʹ λ γ ςʹ Ταρείανα ............. π β λ β ⦣ ʹ Σέλη ................ π δ λ β ⦣ ʹ Γραάν ............... π β λ α ⦣ ʹ Ἀνοῦχθα ............. π γ ⦣ ʹ λ α γοʹ Οὔρζαν ............... π δ γοʹ λ α γοʹ Νῆσος δὲ παράκειται τῇ Σουσιανῇ Ταξίανα .

6 3 6 ............. π δ κ θ δʹ. Περσίδος θέσις.

6 4 T [Ἀσίας πίναξ εʹ.] Ἡ Περσὶς περιορίζεται ἀπὸ μὲν ἄρκτων Μηδίᾳ κατὰ τὴν ἐκτεθειμένην διὰ τοῦ Παρχοάθρα ὄρους γραμμὴν, ἀπὸ δὲ δύσεως Σουσιανῇ παρὰ τὴν εἰρημένην αὐτῆς ἀνατολικὴν πλευρὰν, ἀπὸ δὲ ἀνατολῶν Καρμανίᾳ ἀπὸ τοῦ παρὰ τὴν ἐκβαλλομένην μεσημβρινὴν γραμμὴν πρὸς τῇ Μηδίᾳ καὶ τῇ Παρθίᾳ πέρατος μέχρι τῶν εἰς τὸν Περσικὸν κόλπον Βαγράδα τοῦ ποταμοῦ ἐκβολῶν .

6 4 1 ......... ϙ δ κ θ δʹ ἀπὸ δὲ μεσημβρίας τῷ ἀπὸ τοῦ Ὀροάτιδος ποταμοῦ ἐκβολῶν μέχρι Βαγράδα μέρει τοῦ Περσικοῦ κόλπου κατὰ περιγραφὴν τοιαύτην· Μετὰ τὰς τοῦ Ὀροάτιδος ποταμοῦ ἐκβολὰς Ταόκη ἄκρα .

6 4 2 .......... π ζ ⦣ ʹ λ ςʹ Ῥογομάνιος ποταμοῦ ἐκβολαί π η ⦣ ʹ λ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... ϙ β λ ε Χερσόνησος ἄκρα ........ π θ γοʹ κ θ ⦣ ʹ Ἰώνακα πόλις .......... ϙ κ θ ⦣ ʹδ Βρισοάνα ποταμοῦ ἐκβολαί ϙ β κ θ γοʹ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... ϙ γ λ δ ⦣ ʹ Αὐσίνζα .............. ϙ γ κ θ γʹ Βαγράδα ποταμοῦ ἐκβολαί .. ϙ δ κ θ δʹ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... ϙ δ λ ε δʹ. Καλεῖται δὲ τῆς Περσίδος ἡ μὲν παρὰ τὴν Μηδίαν πᾶσαν Παραιτακην ή, ἧς εἰσιν ἀπὸ μεσημβρίας Μεσσαβάται, καὶ Ῥάψιοι, ὑφʼ οὓς ἡ Τεμισδία, καὶ μέχρι θαλάσσης ἡ Μαρδυηνή καὶ ἡ Ταοκην ή, καὶ οἱ Ἱπποφάγοι, καὶ οἱ Σουζαῖοι, καὶ ὑπὸ μὲν τὴν Μαρδυηνήν Μαίτορες, ὑπὲρ δὲ τοὺς Σουζαίους οἱ Γαβαῖο ι.

6 4 4 Πόλεις δέ εἰσιν ἐν τῇ Περσίδι καὶ κῶμαι μεσόγειοι αἵδε· Ὀζόα ................ π ε ⦣ ʹδ λ ε γ Τάναγρα ............. π ς λ δ ⦣ ʹ Μαῤῥάσιον ............ ϙ β ⦣ ʹ λ γ ⦣ ʹ Ἀσπάδανα ............ π ζ λ γ ⦣ ʹγ Ἄξιμα ............... π ς ⦣ ʹδ λ γ ⦣ ʹγ Πορυόσπανα .......... π θ λ γ ⦣ ʹγ Περσέπολις ............ ϙ α λ γ γʹ Νισέργη .............. ϙ α δʹ λ δ . Σύκτα .

6 4 5 .............. ϙ β ⦣ ʹ λ δ Ἀρβούα .............. ϙ β δʹ λ γ Κοτάμβα ............. ϙ γ ⦣ ʹ λ γ γοʹ Ποτίκαρα ............. π ζ δʹ λ β δʹ Ἄρδεα ............... π η λ β ⦣ ʹ Καυφίακα ............ π θ λ β ⦣ ʹ. Βάτθινα .

6 4 6 ............ ϙ λ β γʹ Κίννα ............... ϙ β γοʹ λ β γʹ Παρόδανα ............ ϙ γ ⦣ ʹγ λ β δʹ Τάπηα ἢ Ταίσπα ........ π ζ λ α ⦣ ʹδ Τραγονίκη ............ π ζ γοʹ λ α γοʹ Μαίτονα ............. π θ ςʹ λ α ⦣ ʹγ Χορόδνα .............. ϙ λ α δʹ Κόῤῥα ............... ϙ α γʹ λ α γοʹ Γάβρα ............... ϙ β δʹ λ α ⦣ ʹ Ὀροβάτις πόλις .......... π ζ λ ⦣ ʹγ· Ταόκη .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

6 4 7 .............. π θ λ γʹ Πάρτα ............... ϙ λ γʹ Μάμμιδα ............. ϙ α λ γʹ Οὐζία ............... ϙ α γοʹ λ Πασαργάδα (ἢ Πασάῤῥαχα) ϙ γ λ ∠ ʹ Γάβαι ............... ϙ γ γοʹ λ ςʹ. Νῆσοι δὲ παράκεινται τῇ Περσίδι, Ταβίανα .

6 4 8 ............ π δ κ θ δʹ Σῶφθα .............. π η κ θ δʹ Ἀλεξάνδρου ἡ καὶ Ἀρακία ... ϙ κ θ. Παρθίας θέσις.

6 5 T [Ἀσίας πίναξ εʹ.] Ἡ Παρθία περιορίζεται ἀπὸ μὲν δύσεως τῷ ἐκτεθειμένῳ Μηδίας μέρει, ἀπὸ δὲ ἄρκτων Ὑρκανίᾳ χώρᾳ κατὰ παράλληλον γραμμὴν τὴν διὰ τοῦ Κορώνου ὄρους ἕως τοῦ πρὸς αὐτὸ πέρατος, οὗ ἡ θέσις ἐπέχει μοίρας ρ α λ θ ἀπὸ δὲ ἀνατολῶν Ἀρείᾳ κατὰ τὴν ἀπὸ τοῦ εἰρημένου πέρατος γραμμὴν διὰ τοῦ Μασδωρανοῦ ὄρους μέχρι πέρατος, οὗ ἡ θέσις ἐπέχει μοίρας .

6 5 1 .................. ρ α ∠ ʹ λ γ ἀπὸ δὲ μεσημβρίας τῇ Ἐρήμῳ Καρμανίᾳ κατὰ τὴν ἐπιζευγνύουσαν τὰ ἐκκείμενα πέρατα, διὰ τῆς τοῦ Παρχοάθρα ὄρους γραμμῆς ἕως ... ρ α λ γ καλεῖται δὲ τῆς Παρθίας ἡ μὲν παρὰ τὴν Ὑρκανίαν Κομισην ή, ἡ δὲ ὑπὸ ταύτην Παρθυην ή, εἶτα ἡ Χοαρην ή, καὶ ἡ Παραυτικην ή, μεθ' ἣν παρὰ τὴν Καρμανίαν ἡ Ταβικην ή, παρακειμένους ἔχουσα τοὺς Σωβίδα ς. Πόλεις δέ εἰσι τῆς Παρθίας καὶ κῶμαι αἵδε· Ἀμβρωδάξ .

6 5 2 ........... ϙ δ ∠ ʹ λ η ∠ ʹ Οἰνουνία (ἢ Σινουνία) ..... ϙ ε λ η γοʹ Καρίπρακα ἄκρα ......... ϙ ζ δʹ λ η γοʹ Ῥόαρα ............... ϙ η ∠ ʹ λ η δʹ Σοῦφθα .............. ρ λ η ∠ ʹ Ἀρακίανα ............. ϙ δ δʹ λ η Δορδομάνα ............ ϙ δ δʹ λ ζ γοʹ Ἑκατόμπυλον Βασίλειον .... ϙ ς λ ζ ∠ ʹγ Σίνδαγα .............. ϙ ς ςʹ λ ζ Πάρβαρα ............. ϙ η ∠ ʹγ λ ζ ςʹ. Μυσία .

6 5 3 .............. ρ ∠ ʹ λ ζ ∠ ʹ Χάραξ ............... ϙ δ δʹ λ ς γοʹ Ἀπάμεια ............. ϙ δ δʹ λ ς Ἄσπα ............... ϙ ε γʹ λ γ γʹ Σήμινα ............... ϙ ς λ ς γοʹ Μαῤῥίχη ............. ϙ η λ ς γοʹ Ταστάχη ............. ϙ θ λ ς γʹ Ἀρμίανα .............. ρ α λ ς ςʹ Χόαρα ............... ϙ ε δʹ λ ε ςʹ· Πασακαρτία .

6 5 4 .......... ϙ δ δʹ λ ε δʹ Ῥοῦδα ............... ϙ ε λ ε Σιμψιμίδα ............ ϙ ς ∠ ʹ λ ε γοʹ Ἀρτάκανα ............ ϙ ς λ δ ∠ ʹ Ἄπφα ............... ϙ η λ ε γʹ Ῥάγαια .............. ϙ η γʹ λ δ γʹ. Καρμανίας Ἐρήμου θέσις.

6 6 T [Ἀσίας πίναξ εʹ.] Ἡ Ἔρημος Καρμανία περιορίζεται ἀπὸ μὲν δύσεως Περσίδος μέρει παρὰ τὸν Βαγράδαν ποταμὸν, τῷ ἀπὸ τοῦ Παρχοάθρα ὄρους μέχρι πέρατος, οὗ ἡ θέσις ἐπέχει μοίρας .

6 6 1 ...... ϙ δ λ α ἀπὸ δὲ ἄρκτων Παρθίᾳ κατὰ τὴν ἐκτεθειμένην γραμμὴν διὰ τοῦ Παρχοάθρα ὄρους, ἀπὸ δὲ ἀνατολῶν μέρει τῆς Ἀρείας κατὰ τὴν προσεκβαλλομένην τῇ εἰρημένῃ γραμμῇ μέχρι πέρατος, οὗ ἡ θέσις ἐπέχει μοίρας ....... ρ α κ θ ∠ ʹγ ἀπὸ δὲ μεσημβρίας τῇ λοιπῇ Καρμανίᾳ παρὰ τὴν ἐπιζευγνύουσαν τὰ εἰρημένα πέρατα πλευράν. Κατανέμονται δὲ τῆς Ἐρήμου τὰ μὲν μεσημβρινὰ Ἰσατίχαι, καὶ Χοῦθοι, τὰ δὲ μέσα Γαδανώπυδρε ς· ἡ δὲ πρὸς ἄρκτους καὶ ἀνατολὰς πλευρὰ καλεῖται Μοδομαστικ ή.

6 7 T Ἀραβίας Εὐδαίμονος θέσις. [Ἀσίας πίναξ ςʹ.] Ἡ Εὐδαίμων Ἀραβία περιορίζεται ἀπὸ μὲν ἄρκτων ταῖς ἐκτεθειμέναις μεσημβριναῖς πλευραῖς, τῆς τε Πετραίας καὶ τῆς Ἐρήμου Ἀραβίας καὶ τῷ νοτίῳ μέρει τοῦ Περσικοῦ κόλπου, ἀπὸ δὲ δύσεως τῷ Ἀραβίῳ κόλπῳ, ἀπὸ δὲ μεσημβρίας τῇ Ἐρυθρᾷ θαλάσσῃ, ἀπὸ δὲ ἀνατολῶν μέρει τοῦ Περσικοῦ κόλπου καὶ τῇ ἀπὸ τοῦ στόματος αὐτοῦ μέχρι τοῦ Συάγρου ἀκρωτηρίου θαλάσσῃ.

6 7 2 Ἡ μὲν οὖν παράλιος αὐτῆς περιγραφὴν ἔχει τοιαύτην· μετὰ τὸ ἐν τῷ Ἐλανίτῃ μυχῷ ὅριον τοῦ Ἀραβίου κόλπου, Ὄννη ................ ξ ς κ η ∠ ʹ Μοδίανα ἢ Μοδοῦνα ...... ξ ς γοʹ κ ζ ∠ ʹδ Ἵππος ὄρος ............ ξ ς ∠ ʹγ κ ζ γʹ Ἵππος κώμη ............ ξ ζ κ ς γʹ Φοινίκων κώμη .

6 7 3 ... ...... ξ ζ γʹ κ ς γʹ Ῥαυνάθου κώμη ......... ξ ζ δʹ κ ε γʹ Χερσόννησος ἄκρα ........ ξ ζ κ ε γʹ Ἰαμβία κώμη ............ ξ η ∠ ʹ κ γ γʹ. Ταύτης δὲ τῆς παραλίου τὰ μὲν πρῶτα κατέχουσι Θαμυδῖται, καὶ ἐφεξῆς Σιδηνο ί, εἶτα Δάῤῥαι, μεθ' οὓς Βανούβαροι, εἶτα Ἄρσα ι.

6 7 5

Κιναιδοκολπιτῶν χώρας Κόπαρ κώμη ............ ξ η ∠ ′ κ γ δ′ Ἄργα κώμη ............. ξ θ κ β γο′ Ζαβρὰμ Βασίλειον ......... ξ θ γ′ κ β Κέντος κώμη ............ ξ θ γ′ κ α ∠ ′ Θῆβαι πόλις ............ ξ θ γο′ κ α Βαιτίου ποταμοῦ ἐκβολαί ... ξ θ ∠ ′ κ γο′ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... ο ς κ δ ∠ ′· Κασσανιτῶν χώρας Βαδεὼ Βασίλειον .

6 7 6 ....... ο κ δ′ Ἄμβη πόλις ............. ο γο′ ι θ ∠ ′ Μάμαλα κώμη .......... ο α ∠ ′δ ι η ς′ Ἀδήδου κώμη ........... ο β δ′ ι ζ ς′· Ἐλισάρων χώρας Πούδνου πόλις .

6 7 7 ......... ο β ∠ ′ ι ς ∠ ′ Αἴλου κώμη ............ ο γ ∠ ′ ι ε ∠ ′ Ναπηγοῦς κώμη ......... ο γ ∠ ′ ι ε Σακατία πόλις .......... ο δ δ′ ι δ ς′ Μούζα ἐμπόριον ......... ο δ ∠ ′ ι δ Σωσίππου λιμήν ......... ο δ ∠ ′δ ι γ Ψευδόκηλις ............. ο ε ι β ∠ ′ Ὄκηλις ἐμπόριον ......... ο ε ι β Παλίνδρομος ἄκρα ........ ο δ ∠ ′ ι α γο′· Ἐρυθρᾶς θαλάσσης μετὰ τὰ στενὰ Ποσείδιον ἄκρον .

6 7 8 ........ ο ε ι α ∠ ′ Σανίνα πόλις ........... ο ε ∠ ′ ι α ∠ ′δ Καβούβαθρα ὄρος ........ ο ς δ′ ι α δ′· Ὁμηριτῶν χώρας Μαδόκη πόλις .

6 7 9 .......... ο ζ ι α ∠ ′δ Μαρδάχη πόλις .......... ο η ι α ∠ ′δ Λέες κώμη .............. ο η γο′ ι α ∠ ′ Ἀμμωνίου ἀκρωτήριον ...... ο θ γ′ ι α ∠ ′ Ἀραβίας ἐμπόριον ........ π ι α ∠ ′ Ἀτμανίσφη κώμη ......... π γο′ ι α ∠ ′δ Μέλαν ὄρος ............ π α ∠ ′ ι α ∠ ′. Ἀδραμιτῶν χώρας Ἤβισμα πόλις .

6 7 10 .......... π β ι α ∠ ′δ Μέγας Αἰγιαλός ......... π β ∠ ′ ι α ∠ ′ Μάδα κώμη ............ π γ ι α ∠ ′ Ἐρισθὴ πόλις ........... π γ ∠ ′ ι α ∠ ′δ Μικρὸς Αἰγιαλός ......... π γ γο′ ι α ∠ ′ Κάνη ἐμπόριον καὶ ἄκρον ... π δ ι β ∠ ′ Τρούλλα λιμήν ........... π δ ι β γ′ Μαιθάθ κώμη .......... π δ γ′ ι γ Πριώνοτον ὄρος .......... π δ γο′ ι γ Πρίωνος ποταμοῦ ἐκβολαί ... π ε ι γ ∠ ′ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... π β ι ζ ∠ ′ Ἐμβόλων κώμη .......... π ε ∠ ′ ι γ ∠ ′ Τρητὸς λιμήν ............ π ς γ′ ι γ ∠ ′δ Θιάλληλα κώμη .......... π ζ ι δ Μόσχα λιμήν ........... π η ∠ ′ ι δ Σύαγρος ἄκρα ......... ϙ ι δ· Σαχαλιτῶν Μέτακον κώμη .

6 7 11 ........ π η ι ς ∠ ′ Αὔσαρα πόλις ........... π ζ γ′ ι ς ∠ ′δ Ἄγγη κώμη ............. π ζ ∠ ′ ι ζ ∠ ′ Ἀστόα κώμη ............ π η ∠ ′ ι η ∠ ′ Νεογίλλα Ἐπίνειον ........ π θ ι θ Ὁρμανοῦ ποταμοῦ ἐκβολαί ... π θ ι θ ∠ ′ Δίδυμα ὄρη ............. ϙ δ′ ι θ γ′ Κώσαρα ἢ Κωσεύδη πόλις ... ϙ α κ Μαντεῖον Ἀρτέμιδος ....... ϙ α γο′ κ Ἄβισσα πόλις ........... ϙ β γ′ κ δ′ Κορόδαβον ἄκρον ........ ϙ γ κ δ′· ἐν τοῖς στενοῖς τοῦ Περσικοῦ κόλπου Κρυπτὸς λιμήν .

6 7 12 ......... ϙ β γο′ κ α ∠ ′ [Ὄρη παράλια Ἀραβίας Εὐδαίμονος· Ἵππος ὄρος ............ ξ ς ∠ ′γ κ ζ γ′ Καβούβαθρα ὄρος ........ ο ς δ′ ι α δ′ Μέλαν ὄρος ............ π α ∠ ′ ι α ∠ ′ Πριωνοτὸν ὄρος ......... π δ γο′ ι γ Δίδυμα ὄρη ............. ϙ δ′ ι θ γ′] Μέλανα ὄρη καλούμενα Ἀσαβῶν, ὧν τὸ ἐπὶ θαλάσσῃ μέσον ἐπέχει μοίρας ........... ϙ γ κ β γ′ Ἀσαβῶν ἄκρον .......... ϙβ ∠ ′ κ γ γ′· [ποταμοὶ παράλιοι· Βαίτιος ποταμός .

6 7 13 ........ ξ θ ∠ ′ κ γο′ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... ο ς κ δ ∠ ′ Πρίωνος ποταμοῦ ἐκβολαί ... π ε ι γ ∠ ′ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... π β ι ζ ∠ ′ Ὁρμανὸς ποταμός ........ π θ γο′ ι θ ∠ ′ Λὰρ ποταμός ........... π ς γ′ κ γ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... π α ι η Κώσαρα πόλις ........... ϙ ακ ·] Περσικοῦ κόλπου · Ἰχθυοφάγων κόλποι ἐπὶ πολὺ διήκοντες, ὧν ἐντός εἰσιν οἱ Μάκα ι, εἶτα Ναρειτῶν Ῥέγμα πόλις .

6 7 14 ........... π η κ γ γ′ Ἱερὰ Ἡλίου ἄκρα ........ π ζ γ′ κ γ ∠ ′γ Λὰρ ποταμοῦ ἐκβολαί ..... π ς γ′ κ γ ∠ ′ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... π α ι η Κάνιψα πόλις ........... π ς κ γ γο′ Κάβανα (ἢ Καυάνα) πόλις .. π ε κ γ· εἶτα Ἀτταίων Σαρκόη πόλις .

6 7 15 .......... π δ δ′ κ γ Κάραδα πόλις ........... π γ γο′ κ γ ∠ ′ Ἄττα κώμη ............. π β κ γ δ′· εἶτα Γεῤῥαίων Μαγινδάνατα ἢ Ματιντάνα πόλις .

6 7 16 ............. π α κ γ γ′ Γέῤῥα πόλις ............ π κ γ γ′ Βίλβανα πόλις ........... π κ δ ς′· εἶτα Θαιμῶν Εἶθαρ πόλις .

6 7 17 .......... π κ ε Μάγων κόλπος ......... π κ ε γο′ Ἰστριάνα πόλις ......... π κ ε γ′· Λεανιτῶν Μαλλάβα πόλις .

6 7 18 ......... π ς′ κ ς γ′ Χερσόνησος ἄκρα ....... π γ′ κ ς ∠ ′ Λεανίτης κόλπος ......... ο θ ∠ ′δ κ ζ Ἰταμὸς λιμήν ........... ο θ γο′ κζ γ′ Ἀδάρου πόλις ........... ο θ δ′ κ ζ γο′· Ἀβουκαίων Ἱερὸς κόλπος .

6 7 19 ......... οθ δ′ κ η δ′ Κορομανὶς πόλις ......... ο θ κ η ∠ ′δ· μεθ’ ἣν τὸ εἰρημένον πρὸς τῇ Ἐρήμῳ πέρας, καὶ ὁ Μαισανίτης κόλπος ....... ο θ λ ς′. Ὄρη δ’ ὀνομάζεται τῆς χώρας τά τε εἰρημένα ἐπιλαμβάνοντα ἐπὶ πλέον καὶ τῆς μεσογείας, καὶ ἔτι τὸ καλούμενον Ζάμης, οὗ τὸ μέσον ἐπέχει μοίρας .

6 7 20 ............. ο ς κ ε καὶ τὰ Μάριθα ............. π ∠ ′ κ α ∠ ′ καὶ ἡ Κλίμαξ .............. ο ς ∠ ′ ι ς μεθ’ ὃ ἡ πηγὴ τὸ καλούμενον Στυγὸς ὕδωρ ............... ο η ι ε καὶ ἄλλα ἀνώνυμα, ὑπέρ τε τοὺς Κιναιδοκολπίτας .............. ο α ∠ ′ κ ε καὶ ὑπὲρ τοὺς Κατανίτας ....... ο γ κ καὶ ὑπὸ τὰ Μάρειθα .......... π δ ∠ ′ ι ζ γ′ καὶ ὑπὲρ τὰ Ἀσαβῶν .......... π η κ β ∠ ′. Κατέχουσι δὲ τὴν μεσόγειαν παρὰ μὲν τὰς ὀρεινὰς τὰς πρὸς ἄρκτους ὡς ἐπίπαν Σκηνῖται, καὶ ἔτι ὑπὲρ αὐτοὺς Θαδῖται, μεσημβρινώτεροι δὲ τούτων Σαρακηνο ί, καὶ Θαμυδηνο ί, εἶτα παρὰ τὸν Ζάμητα τὸ ὄρος ἀπὸ μὲν δύσεως αὐτοῦ Ἀπαταῖοι, καὶ Ἀθρῖται, καὶ πρὸς αὐτῷ Μαισαιμανεῖς, καὶ Οὐδηνο ί· ἀπὸ δὲ ἀνατολῶν Λαικηνο ί, καὶ Ἀσταπηνο ί, καὶ Ἰολεισῖτα ι· ἀπὸ δὲ μεσημβρίας Κατανῖται, εἶτα Θανουῖται, τούτων δ’ ἀπὸ δύσεως Μανῖται, ὑπὲρ οὓς Ἀλαπηνο ί, καὶ παρὰ τοὺς Κιναιδοκολπίτας Μαλῖχαι, καὶ ὑπὸ τοὺς Μανίτας ἡ ἐντὸς Σμυρνοφόρος, εἶτα Μιναῖοι, μέγα ἔθνος, ὑφ’ οὓς Δωρηνο ί, καὶ Μοκρῖται, εἶτα Σαβαῖοι, καὶ Ἀγχῖται ὑπὲρ τὴν Κλίμακα τὸ ὄρος, παρὰ δὲ τὰ Μάρειθα ὄρη Μελαγγῖται μὲν ἀπ’ ἄρκτων, καὶ Δαχαρηνο ί· Ζειρῖται (ἢ Εἰρῖται) δὲ ἀπὸ μεσημβρίας, καὶ Βλιουλαῖοι, καὶ Ὁμαγκῖται, ὧν ἀνατολικώτεροι Κοτταβανο ί, μέχρι τῶν Ἀσαβῶν ὀρῶν, ὑφ’ οὓς ἡ Λιβανοφόρος, εἶτα πρὸς τοῖς Σαχαλίταις Ἰωβαρῖται, ὑπὸ δὲ τοὺς Βλιουλαίους Ἀλουμεῶται, εἶτα Σωφανῖται, καὶ Κυθηβανῖται, καὶ μέχρι τῆς Κλίμακος Ῥαβανῖτα ι· ὑπὸ δὲ τούτους πάντας Χατραμωνῖται ἀπὸ τῆς Κλίμακος μέχρι τῶν Σαχαλιτῶν, ἀπὸ δὲ μεσημβρίας τῆς Κλίμακος Μασονῖται, εἶτα Σαρῖται, καὶ παρὰ τοὺς Ὁμηρίτας Σαπφαρῖται, καὶ Ῥαθῖναι, ὑπὲρ οὓς οἱ Μαφορῖται ὧν πρὸς ἀνατολὰς παρὰ μὲν τοὺς Χατραμωνίτας ἡ ἐκτὸς Σμυρνοφόρος, παρὰ δὲ τὸν Σύαγρον τὸ ὄρος μέχρι θαλάσσης Ἀσκῖτα ι.

6 7 27 Πόλεις δὲ λέγονται τῆς Εὐδαίμονος Ἀραβίας καὶ κῶμαι μεσόγειοι αἱ ὑποτεταγμέναι αἵδε· Ἀραμαύα ............. ξ ζ ∠ ′ κ θ ς′ Ὀστάμα .............. ξ θ ∠ ′ κ θ Θαπαύα .............. ο α γο′ κ θ Μάκνα ἢ Μαίνα ......... ξ ζ κ η ∠ ′δ Ἀγκάλη .............. ξ η δ′ κ η ∠ ′δ Μαδιάμα ............. ξ η κ η δ′· Ἀχρούα .

6 7 28 ............. ο κ η ∠ ′ Ὀβράκα .............. ο α ∠ ′ κ η ∠ ′ Ῥάδου κώμη ........... ογ ∠ ′ κ η ∠ ′ιβ Φαράθα ............. ο γ γο′ κ η γο′ Σατοῦλα .............. ο ζ ∠ ′ κ η ς′ Λάβα ................ ξ η ς′ κ ζ γο′· Θαῖμα .

6 7 29 ............... ο α κ ζ Γαία πόλις ............ ο α δ′ κ ζ γ′ Ἄϊνα ................ ο ε γο′ κ ζ γ′ Λουγάνα ἢ Ζουγάνα ....... ο ς ∠ ′ κ ζ δ′ Γαῖσα ............... ο η γ′ κ ζ δ′ Σόακα ............... ξ η κ ς δ′ Ἔγρα ................ ο ∠ ′ κ ς Σάλμα ............... ο δ ∠ ′ κ ς· Ἄῤῥη κώμη .

6 7 30 ............ ο ε γο′ κ ς ς′ Δίγημα ἢ Δίσιμα ......... ο ζ κ ς ∠ ′ Σάφθα .............. ο η δ′ κ ς γ′ Φιγία ................ ο θ κ ς Βαδαΐς .............. ξ η ∠ ′ κ ε ∠ ′ Αὔσαρα .............. ο α κ ε ∠ ′ Ἰάβρι ................ ο δ ∠ ′ κ ε Ἀλάτα πόλις ............ ο ζ γ′ κ ε ∠ ′· Μόχουρα .

6 7 31 ............ ξ θ γο′ κ δ ∠ ′ Θούμνα .............. ο κ δ ∠ ′γ Ἀλουάρη .............. ο κ δ δ′ Φαλβίνου ............. ο γ δ′ κ δ Σάλμα ............... ο γ γ′ κ δ δ′ Γόρδα ............... ο ς ς′ κ δ ∠ ′ Μαράτα ............... ο θ γ′ κ δ γ′ Ἰβίρθα .............. ο θ γ′ κ δ γο Λαθρίππα ............ ο α γο′ κ γ γ′ Κάρνα ............... ο γ ς′ κ γ δ′· Βιαβάνα .

6 7 32

............ ο ς ∠ ′ κ γ Γοιράθα ............. ο ζ γ′ κ γ Κάταρα .............. ο θ ∠ ′ κ γ γ′ Βαίβα ἢ Ῥαίβα .......... ο α ∠ ′ κ β ∠ ′ Μακοράβα ............ ο γ γ′ κβ · Σάτα .

6 7 33 ................ π α ς′ κ β ς′ Μασθάλα ............ π α ∠ ′δ κ β ∠ ′ Δόμανα .............. π γ κ β ∠ ′ Ἀττία ................ πε κ β δ′ Ῥάβανα βασίλειον ........ π ζ κ β Χαβουάτα ............ π θ δ′ κ β Θουμάτα ............. ο δ γο′ κ α γ′· Ὀλαφία .

6 7 34 ............. ο ζ γο′ κ α ∠ ′δ· Ἰνάφα ............... ο θ ς′ κ α γο′ Τιάγαρ .............. π ε κ α γ′ Ἄππα ............... ϙ α κ α Ἀγδάμου ............. ο γ ∠ ′ κ γ′ Καρμὰν βασίλειον ........ ο ε δ′ κ δ′· Ἴραλα .

6 7 35 .............. π γ′ κ δ′ Νάσκος μητρόπολις ....... π α δ′ κ γ′ Λαβρίς ................ π β κ ∠ ′ Λατέα ................ π γ γ′ κ δ′· Ἱεράκων κώμη .

6 7 36 .......... π δ ∠ ′ κ ∠ ′ Ἄλβανα .............. ο δ ∠ ′ ι θ δ′ Χάργαθα ............. ο ς ς′ ι θ δ′ Λάθθα .............. ο θ ς′ ι θ γ′ Ὄμανον ἐμπόριον ......... π ζ γ′ ι θ δ′ Μαράσδου ............ ο δ ∠ ′ ι η ∠ ′· Μάρα μητρόπολις .

6 7 37 ....... ο ς ι η γ′ Νάγαρα μητρόπολις ...... π δ ∠ ′δ ι η γ′ Ἰούλα ............... π ε γ′ ι η Ἀμάρα ................ ο η ∠ ′ ι η γ′ Μαγούλαυα ........... ο ε ∠ ′ ι ζ Σιλαιόν .............. ο ς γο′ ι ζ Μαριάμα ............. ο η ∠ ′ ι ζ ς′ Θούμνα .............. ο θ ι ζ δ′· Οὐόδονα .

6 7 38 ............ π ι ζ γ′ Μαριμάθα ............ π ε ς′ ι ζ γο′ Σάβη ................ ο γ γο′ ι ζ ς′ Μέναμβις βασίλειον ....... ο ε ∠ ′δ ι ς ∠ ′ Θάββα ............... π η γ′ ι ς ∠ ′· Σάββαθα μητρόπολις ...... π ζ ι ς ∠ ′· Σαδασάρα .

6 7 39 ........... π α ∠ ′δ ι ς γο′ Γόρδα ............... π β ∠ ′ ι ς Θαβάνη .............. π ε γο′ ι ς γ′ Μείβα ............... ο δ γ′ ι ε ∠ ′· Στυγὸς ὕδατος πηγή .

6 7 40 ..... ο η ι ε Δράγα ............... ο θ ς′ ι ε δ′ Σαροῦον ............. π γο′ ι ε δ′· Μαίφα μητρόπολις .

6 7 41 ...... π γ δ′ ι ε Σάρακα .............. ο ε ∠ ′ ι δ ∠ ′ Σάπφαρα μητρόπολις ...... ο η ι δ ∠ ′ Ἄρη βασίλειον ........... π ∠ ′ ι δ Ῥαίδα ............... π γ γ′ ι δ ς′ Βαρνοῦν (ἢ Βαινοῦν) ...... π δ ∠ ′ ι δ δ′ Θουρίς ............... ο ε δ′ ι γ Λαχερή .............. ο ζ ∠ ′ ι γ γ′ Ὕαιλα ............... ο θ ι γ ∠ ′γ Μάκκαλα ............. π α ι γ ∠ ′δ Σάχλη ............... π β γο′ ι γ γ′· Σάβη βασίλειον .

6 7 42 ......... ο ς ι β γο′ Δήουα ............... ο ζ γο′ ι β ∠ ′ Σόχχορ .............. ο η ∠ ′ ι β γο′ Βαύα ................ π γ′ ι β γο′ Δέλα ................ π β ι β γο′ Κῶα ................ π γ ∠ ′ ι β ∠ ′. Νῆσοι δὲ παράκεινται τῇ χώρᾳ κατὰ μὲν τὸν Ἀραβικὸν κόλπον Αἴνου .

6 7 43 .............. ξ ε ∠ ′δ κ ζ γ′ Τιμαγένους ............ ξ ς κ ε ∠ ′δ Ζύγαινα .............. ξ ς δ′ κ δ γ′ Δαιμόνων ............. ξ ς ∠ ′δ κ γ δ′ Πολυβίου ............. ξ ζ γο′ κ α γο′ Ἱεράκων .............. ξ θ ∠ ′ ι θ· Σωκράτους .

6 7 44 ........... ο ι ς γο′ Καρδαμίνη ............ ο α ι ς Ἄρη ................. ο α ι ε γ′ Κατακεκαυμένη .......... ο ∠ ′ ι δ ∠ ′ Μαλιάχου δύο .......... ο α γο′ ι δ Ἀδάνου δύο ........... ο β ∠ ′ ι β ∠ ′. Ἐν δὲ τῇ Ἐρυθρᾷ θαλάσσῃ Ἀγαθοκλέους δύο, ὧν τὸ μεταξὺ ἐπέχει μοίρας .

6 7 45 ..... π α γ′ ι Κοκκονάγου ς , ὧν τὸ μεταξὺ ἐπέχει μοίρας .......... π γ θ Διοσκορίδους πόλις ....... π ς γο′ θ ∠ ′ τὸ δυτικὸν τῆς νήσου πέρας .. π ε ι β ∠ ′ Τρητή ............... π ς ∠ ′ ι β Καὶ παρὰ τὸν Σαχαλίτην κόλπον Ζηνοβίου ἑπτὰ νησία, ὧν τὸ μεταξὺ ἐπέχει μοίρας .

6 7 46 ... ϙ α ι ς ∠ ′ Ὀργάνα .............. ϙ β ι θ Σαραπιάδος, ἐν ᾗ ἱερόν .... ϙ δ ι ∠ ′· ἐν δὲ τῷ Περσικῷ κόλπῳ Ἀπφάνα νῆσος, ἥτις ἐπέχει μοίρ.

6 7 47 π α γ′ κ η γο′ Ἰχάρα ............... π β κ ε Θαῤῥώ ............... π ε δ′ κ δ ∠ ′δ Γύλος ............... ϙ κ δ γο′ Ἄραδος .............. ϙ α γο′ κ δ γο′. Καρμανίας θέσις.

6 8 T

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Ἀσίας πίναξ ςʹ.] Ἡ Καρμανία περιορίζεται ἀπὸ μὲν ἄρκτων τῇ ἐκτεθειμένῃ μεσημβρινῇ πλευρᾷ τῆς Ἐρήμου Καρμανίας, ἀπὸ δὲ ἀνατολῶν Γεδρωσίᾳ παρὰ Περσικὰ ὄρη κατὰ τὴν δι’ αὐτῶν ἐπιζευγνυμένην μεσημβρινὴν γραμμὴν, ἀπὸ τοῦ πρὸς τῇ Ἐρήμῳ πέρατος μέχρι τοῦ Ἰνδικοῦ πελάγους κατὰ θέσιν ἐπέχουσαν μοίρας .

6 8 2 .......... ϱ δκ · ἀπὸ δὲ δύσεως τῷ μέρει τῆς τε Περσίδος τῷ ἀπὸ τοῦ πρὸς τῇ Ἐρήμῳ Καρμανίᾳ πέρατος μέχρι τῶν τοῦ Βαγράδα ποταμοῦ ἐκβολῶν καὶ τῷ ἐντεῦθεν τοῦ Περσικοῦ κόλπου μέρει καλουμένῳ καὶ αὐτῷ Καρμανικῷ κόλπῳ κατὰ περιγραφὴν τοιαύτην· Δάρα ποταμοῦ ἐκβολαί .

6 8 4 ... ϱ ε δʹ κ η γοʹ Κάθραπος ποταμοῦ ἐκβολαί ϱ ε ∠ ʹ κ ζ γοʹ Κορίου ποταμοῦ ἐκβολαί ... ϱ ς κ ς Ἀχινδάνα ποταμοῦ ἐκβολαί .. ϱ ς γοʹ κ ς ςʹ Ἀνδάνιος ποταμοῦ ἐκβολαί .. ϱ ς κ ε Σαγανοῦ ποταμοῦ ἐκβολαί .. ϱ ε γοʹ κ δ ∠ ʹ· Ἅρμουζα πόλις .

6 8 5 ......... ϱ δ ∠ ʹ κ γ ∠ ʹ Ἅρμοζον ἄκρον .......... ϱ δ κ γ γοʹ Καρπέλας ἄκρα .......... ϱ δ κ β ∠ ʹ· ἀπὸ δὲ μεσημβρίας μέρει τοῦ Ἰνδικοῦ πελάγους τῷ μέχρι τοῦ εἰρημένου πέρατος, οὗ ἡ περιγραφὴ ἔχει οὕτως· Μετὰ τὴν Καρπέλαν ἄκραν ἐν τῷ Παράγοντι κόλπῳ, Κανθάτις πόλις .

6 8 7 ........ ϱ ς κ β ∠ ʹγ Ἀγρὶς πόλις ............ ϱ ς γʹ κ γ Κόμμανα .............. ϱ ζ ςʹ κ γ Ῥόγανα ............... ϱ η ςʹ κ β ∠ ʹγ Σαράλου ποταμοῦ ἐκβολαί .. ϱ η ςʹ κ β γʹ Μασίν ................ ϱ θ κ β ∠ ʹ Σαμυδάκη .............. ϱ θ ςʹ κ β ∠ ʹδ· Σαμυδάκους ποταμοῦ ἐκβολαί ρ ∠ ʹ κ β γʹ αἱ πηγαὶ τοῦ ποταμοῦ .

6 8 8 .... ρδ ςʹ κ ε Τεῖσα πόλις ............ ρ α ςʹ κ β Ὑδριάκου ποταμοῦ ἐκβολαί .. ρ α δʹ κ α γοʹ Βαγία (ἢ Βασία) ἄκρα .... ρ α κ α Κυΐζα λιμήν ............ ρ α δʹ κ γοʹ Ἀλαβάγειον ἄκρον ........ ρ ακ · μέχρι τούτου καλεῖται Κόλπος Παράγων, εἶτα ἐφεξῆς, Δεράνη Βίλλα .

6 8 9 .......... ρ α ∠ ʹ κ ςʹ Κωφάντα λιμήν .......... ρ β κ Ζορόμβα (ἢ Ζωράμβου) ποταμοῦ ἐκβολαί ......... ρ β ∠ ʹ κ Βαδάρα ............... ρ γ κ ςʹ Μουσάρνα ............. ρ γ δʹ κ ςʹ· μεθ’ ἃ τὸ εἰρημένον μέχρι τοῦ Ἰνδικοῦ πελάγους πέρας ἐπέχει μοίρας .

6 8 10 ...... ρ δ κ . Ὄρη δέ ἐστιν ἐν τῇ χώρᾳ μετὰ τὰ εἰρημένα παρά τε τὴν Ἔρημον καὶ τὴν Γεδρωσίαν τό, τε καλούμενον Σεμιράμιδος καὶ Στρογγύλον ἀπὸ τοῦ σχήματος, οὗ τὸ μέσον ἐπέχει μοίρας .

6 8 11 ... ϱδ ∠ ʹ κ γ καὶ ἕτερα παράλληλα τοῖς Περσικοῖς, ἀφ’ ὧν οἱ δυτικώτεροι τοῦ Σαμυδάκους ῥέουσι ποταμοὶ, ὧν τὸ μεταξὺ ἐπέχει μοίρας ............ ρ θ κ ς . Κατέχουσι δὲ τὰ μὲν πρὸς τῇ Ἐρήμῳ Καμηλοβοσκο ί, καὶ οἱ καλούμενοι Σωζόται, ὑπὸ δὲ τούτους εἰσὶν ἀπὸ θαλάσσης ἐκτεταμέναι ἥ τε Ῥουδιαν ή, καὶ ἡ Ἀγδηνῖτις, εἶτα Παραιπαφῖτις, ὑφ’ ἣν Αἰρα ί, καὶ Χαράδραι ἔθνη, εἶτα ἡ Καβηδην ή, καὶ ἡ Κανθωνικ ή, καὶ ἐπὶ θαλάσσῃ Πασαργάδαι καὶ Χελωνοφάγο ι.

6 8 13 Πόλεις δὲ καὶ κῶμαι μεσόγειοι λέγονται τῆς Καρμανίας αἵδε· Πορτόσπανα ............ ϱ ς κ η γοʹ Κάρμανα μητρόπολις ...... ρ κ θ Θάσπις ............... ϱ η κ ζ γοʹ Νήπιστα .............. ϱ ζ ∠ ʹ κ ς Χόδδα ................ ρ α ∠ ʹ κ ε Ταρσίανα (ἢ Ταρούανα) .... ϱ ς κ δ ∠ ʹ· Ἀλεξάνδρεια .

6 8 14 ........... ϱ θ κ δ Σαβίς ................ ϱ ζ ∠ ʹ κ δ Θρόασκα .............. ϱ θ γοʹ κ γ γοʹ Ὄρα .................. ρ β γʹ κ γ γοʹ Κωφάντα .............. ρ β δʹ κ γ . Νῆσοι δὲ παράκεινται τῇ Καρμανίᾳ ἐν μὲν τῷ Περσικῷ κόλπῳ, Σάγδανα, ἐν ᾗ Μίλτος .

6 8 15 .... ϱε κ ζ ∠ ʹδ Οὐορόχθα ............. ϱ ε γʹ κ ε ∠ ʹ· ἐν δὲ τῷ Ἰνδικῷ πελάγει Πάλλα ἢ Πόλλα .

6 8 16 ........ ϱ η ι θ Κάρμιννα .............. ρ β ι η Λίβα νῆσος ............. ρ δ ι θ Ὑρκανίας θέσις.

6 9 T [Ἀσίας πίναξ ζʹ.] Ἡ Ὑρκανία περιορίζεται ἀπὸ μὲν ἄρκτων μέρει τῆς Ὑρκανίας θαλάσσης τῷ ἀπὸ τοῦ πρὸς τῇ Μηδίᾳ πέρατος μέχρι τῶν ἐκβολῶν Ὤξου τοῦ ποταμοῦ, αἳ ἐπέχουσιν μοίρας .

6 9 1 ...... ρ μ γ· ἐν ᾧ τμήματι κεῖνται πόλεις αἵδε· Σαραμάννη πόλις .

6 9 2

........ ϙ δ δ′ μ ∠ ′ Μαξήρα ποταμοῦ ἐκβολαί ... ϙ ζ γ′ μ α ∠ ′ αἱ πηγαὶ τοῦ ποταμοῦ ..... ϙ η λ η γ′ Σωκάνδα ποταμοῦ ἐκβολαί .. ϙ ζ γ′ μ β Ὤξου ποταμοῦ ἐκβολαί ..... ρ μ γ ιβ′· ἀπὸ δὲ δύσεως τῷ ἐκτεθειμένῳ μέρει τῆς Μηδίας ἕως τοῦ Κορωνοῦ ὄρους, [ἐν ᾧ μέρει τῆς Μηδίας Σαραμάννη .

6 9 3 ........... ϙ δ δ′ μ ∠ ′·] ἀπὸ δὲ μεσημβρίας Παρθίᾳ κατὰ τὴν ἐκτεθειμένην αὐτῆς διὰ τοῦ Κορωνοῦ πλευρὰν, ἀπὸ δὲ ἀνατολῶν Μαργιανῇ διὰ τῆς ἐπιζευγνυούσης τὰ εἰρημένα πέρατα ὀρεινῆς.

6 9 5 Κατανέμονται δὲ τῆς Ὑρκανίας τὰ μὲν ἐπὶ θαλάσσῃ Μάξηραι καὶ Ἀσταβηνο ί, καὶ ὑπὸ μὲν τοὺς Μαξήρας Χρῆνδοι, μεθ’ οὓς ἡ Ἀρσῖτις πρόσκειται τῷ Κορωνῷ, ὑπὸ δὲ τοὺς Ἀσταβηνοὺς ἡ Σιρακην ή. Πόλεις δὲ μεσόγειοι ἐν ταύτῃ φέρονται Βαράγγη .

6 9 6 ............ ϙ θ μ β Ἄδραψα .............. ϙ η ∠ ′ μ α ∠ ′ Κασάπη .............. ϙ θ ∠ ′ μ ∠ ′ Ἀβαρβίνα ............. ϙ ζ μ ϛ′ Σόρβα ............... ϙ η μ ∠ ′· Σινάκα .

6 9 7 ............. ρ λ θ γο′ Ἀμαροῦσα ............ ϙ ϛ λ θ ∠ ′γιβ Ὑρκανία μητρόπολις ...... ϙ η ∠ ′γ μ Σάκη (ἢ Σάλη) .......... ϙ δ δ′ λ θ ∠ ′ Ἄσμουρνα ............ ϙ ζ ∠ ′ λ θ ∠ ′ Μαίσοκα (ἢ Μαύσοκα) .... ϙ θ λ θ ∠ ′· καὶ νῆσος κατ’ αὐτὴν πελαγία καλουμένη Τάλκα .

6 9 8 ........ ϙ ε μ β Μαργιανῆς θέσις.

6 10 T [Ἀσίας πίναξ ζ′.] Ἡ Μαργιανὴ περιορίζεται ἀπὸ μὲν δύσεως Ὑρκανίᾳ κατὰ τὴν ἐκτεθειμένην πλευρὰν, ἀπὸ δὲ ἄρκτων μέρει Σκυθίας τῷ ἀπὸ τῶν ἐκβολῶν τοῦ Ὤξου ποταμοῦ μέχρι τοῦ πρὸς τῇ Βακτριανῇ αὐτοῦ τμήματος, οὗ ἡ θέσις ἐπέχει μοίρας ρ γ μ δ ἀπὸ δὲ μεσημβρίας Ἀρείας μέρει κατὰ παράλληλον γραμμὴν τὴν ἀπὸ τοῦ πρὸς τῇ Ὑρκανίᾳ καὶ τῇ Παρθίᾳ ὁρίου διὰ τῶν Σαρίφων ὀρῶν μέχρι πέρατος, οὗ ἡ θέσις ἐπέχει μοίρας .

6 10 1 ......... ρ θ λ θ ἀπὸ δὲ ἀνατολῶν Βακτριανῇ κατὰ τὴν ἐπιζευγνύουσαν τὰ εἰρημένα πέρατα ὀρεινήν. διαῤῥεῖ δὲ τὴν χώραν ποταμὸς ἀξιόλογος ὁ Μάργος, οὗ αἱ μὲν πηγαὶ ἐπέχουσι μοίρας ........... ρ ε λ θ ἡ δὲ πρὸς τὸν Ὦξον συναφὴ μοίρας ρ β μ γ ∠ ′. Καὶ κατέχουσιν αὐτῆς τὰ μὲν πρὸς τῷ Ὤξῳ ποταμῷ Δερβίκκαι οἱ καὶ Δερκέβοι, τὰ δὲ ὑπὸ τούτους Μασσαγέται, μεθ’ οὓς Πάρνοι καὶ Δᾶα ι, ὑφ’ οὓς ἥ τε Ἔρημος αὐτῆς καὶ ἀνατολικώτεροι αὐτῆς Τάπουρο ι.

6 10 3 Πόλεις δέ εἰσιν αὐτῆς αἵδε· Ἀριάκα ............... ρ γ μ γ Σίνα (ἢ Σήνα) .......... ρ β ∠ ′ μ β γ′ Ἀράθα ............... ρ γ ∠ ′ μ β ∠ ′ Ἀργαδίνα ............ ρ α γ′ μ α γο′ Ἰασόνιον ............. ργ ∠ ′ μ α ∠ ′. Συνάπτει δὲ τῷ ποταμῷ τῷ Μάργῳ ἕτερος ποταμὸς ῥέων ἀπὸ τῶν Σαρίφων ὀρέων, οὗ αἱ πηγαὶ .

6 10 4 .......... ργ λ θ Ῥῆα ................. ρ β μ ∠ ′γ Ἀντιόχεια Μαργιανή ..... ρ ϛ μ γ′ Γουριανή ............. ρ δ μ Νίσαια ἢ Νίγαια ........ ρ ε δ′ λ θ ϛ′. Βακτριανῆς θέσις.

6 11 T [Ἀσίας πίναξ ζ′.] Ἡ Βακτριανὴ περιορίζεται ἀπὸ μὲν δύσεως Μαργιανῇ κατὰ τὴν ἐκτεθειμένην πλευρὰν, ἀπὸ δὲ ἄρκτων καὶ ἀνατολῶν Σογδιανῇ παρὰ τὸ λοιπὸν τοῦ Ὤξου ποταμοῦ μέρος· ἀπὸ δὲ μεσημβρίας τῷ τε λοιπῷ μέρει τῆς Ἀρείας τῷ ἀπὸ τοῦ πρὸς τῇ Μαργιανῇ πέρατος, οὗ ἡ θέσις ἐπέχει μοίρας .

6 11 1 .................. ρ θ λ θ καὶ Παροπανισάδαις κατὰ τὴν ἐντεῦθεν προσεκβαλλομένην παράλληλον γραμμὴν διὰ τῆς ἐπιστροφῆς τοῦ Παροπανίσου ὄρους μέχρι τῶν Ὤξου πηγῶν, αἳ ἐπέχουσι μοίρας ...... ρ ι θ ∠ ′ λ θ. Διαῤῥέουσι δὲ τὴν Βακτριανὴν ποταμοὶ συμβάλλοντες τῷ Ὤξῳ ποταμῷ ὅ τε Ὦχος ποταμὸς, οὗ αἱ πηγαὶ ἐπέχουσι μοίρας .

6 11 2 ..... ρ ι λ θ καὶ ὁ Δαργαμάνης, οὗ αἱ πηγαὶ ἐπέχουσι .................. ρι ϛ ∠ ′ λ ϛ γ′ καὶ ὁ Ζαρίασπις, οὗ αἱ πηγαὶ ἐπέχουσι μοίρας ................ ρι γ λ θ καὶ ὁ Ἄρταμις, οὗ αἱ πηγαὶ ἐπέχουσι μοίρας ................ ρι δ λ θ καὶ ὁ Δάργοιδος, οὗ αἱ πηγαὶ ἐπέχουσι μοίρας ............... ρι ϛ λ θ οὗτος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν συμβάλλει τῷ Ὤξῳ κατὰ θέσιν ἐπέχουσαν μοίρας ........ ρ ι ζ ∠ ′ μ δ· τῶν δὲ λοιπῶν ὁ μὲν Ἄρταμις καὶ ὁ Ζαρίασπις συμμίξαντες πρότερον ἀλλήλοις κατὰ θέσιν μοιρῶν .

6 11 3 ........... ρ ι γ μ γο′ συμβάλλουσιν εἰς τὸν Ὦξον κατὰ θέσιν ἐπέχουσαν μοίρας ........ ρ ι β ∠ ′ μ δ· ὁ δὲ Δαργαμάνης καὶ ὁ Ὦχος καὶ αὐτοὶ πρότερον συμμίξαντες ἀλλήλοις κατὰ θέσιν ἐπέχουσαν μοίρας .

6 11 4 ..... ρ θ μ ∠ ′ συμβάλλουσιν εἰς τὸν Ὦξον ἐπὶ μέρους ἐπέχοντες μοίρας ........ ρ θ μ δ· τοῦ δὲ Παροπανίσου τοῦ ὄρους θέσις τὸ δυτικὸν μέρος .

6 11 5 ............ ρι α ∠ ′ λ θ καὶ [τὸ ἀνατολικὸν] ......... ρ ι θ ∠ ′ λ θ. Κατέχουσι δὲ τῆς Βακτριανῆς τὰ μὲν ἀρκτικὰ καὶ πρὸς τῷ Ὤξῳ ποταμῷ Σαλατέραι, καὶ Ζαριάσπαι, τούτων δὲ ἀπὸ μεσημβρίας ὑπὸ μὲν τοὺς Σαλατέρας Χόμαροι, ὑφ’ οὓς Κῶμο ι, εἶτα Ἀκινάκαι, εἶτα Τάμβυζοι, ὑπὸ δὲ τοὺς Ζαριάσπας Τόχαροι μέγα ἔθνος, ὑφ’ οὓς Μαρυκαῖοι, καὶ Σκόρδαι, καὶ Οὔαρνοι, καὶ ἔτι ὑπὸ τούτους Σαβάδιοι, καὶ Ὀρείσιτοι, καὶ Ἀμαρεῖ ς.

6 11 7 Πόλεις δέ εἰσι τῆς Βακτριανῆς πρὸς μὲν τῷ Ὤξῳ ποταμῷ αἵδε· Χαράχαρτα ............ ρ ι α μ δ Ζαρί(α)σπα ἢ Χαρίσπα .... ρ ι ε μ δ Χόανα ................ ρ ι ζ μ β Σουρογάνα ............. ρ ι ζ ∠ ′ μ ∠ ′ Φράτου .............. ρ ι θ λ θ γ′· πρὸς δὲ ταῖς ἄλλαις ποταμίαις αἵδε· Ἀλιχόρδα .

6 11 8 ............. ρ ζ μ γ ∠ ′ Χόμαρα ............... ρ ς ∠ ′ μ γ ∠ ′ Κουριάνδρα ............ ρ θ ∠ ′ μ β ς′ Καυαρίς ............... ρι α γ′ μ γ Ἀστακάνα ............ ρ ι β μ β γ′ Ἐβουσμουάνασσα ἢ Τοσμουάνασσα ............ ρ η ∠ ′ μ α γ Μεναπία ............. ρ ι γ μ α γ Εὐκρατιδία ............ ρ ι ε μ β· Βάκτρα βασίλειον .

6 11 9 ....... ρ ι ς μ α Ἐστόβαρα ............. ρ θ ∠ ′ μ ε γ′ Μαρακάνδα ............ ρ ι β λ θ δ′ Μαρακόδρα ............ ρ ι ε γ′ λ θ γ′ Σογδιανῶν θέσις.

6 12 T [Ἀσίας πίναξ ζ′.] Οἱ Σογδιανοὶ περιορίζονται ἀπὸ μὲν δύσεως Σκυθίας μέρει τῷ ἀπὸ τοῦ πρὸς τῇ Βακτριανῇ καὶ τῇ Μαργιανῇ τμήματος τοῦ Ὤξου διὰ τῶν Ὠξείων ὀρέων μέχρι τμήματος Ἰαξάρτου ποταμοῦ, ὃς ἐπέχει μοίρας .

6 12 1 ............ ρ ι μ θ ἀπὸ δὲ ἄρκτων ὁμοίως μέρει Σκυθίας παρὰ τῷ ἐντεῦθεν τοῦ Ἰαξάρτου ποταμοῦ τμήματι μέχρι τοῦ τῆς ἐπιστροφῆς αὐτοῦ πέρατος, οὗ ἡ θέσις ἐπέχει μοίρας .......... ρ κ μ η ∠ ′ ἀπὸ δὲ ἀνατολῶν Σάκαις παρὰ τὴν ἐντεῦθεν τοῦ Ἰαξάρτου μέχρι τῶν πηγῶν ἐπιστροφῆς, αἵτινες ἐπέχουσι μοίρας ..... ρ κ ε μ γ καὶ τῇ ἀπὸ τούτων προσεκβαλλομένῃ γραμμῇ μέχρι πέρατος, οὗ ἡ θέσις ἐπέχει μοίρας ρ κ ε λ η ∠ ′ ἀπὸ δὲ ἀνατολῶν καὶ μεσημβρίας καὶ ἔτι δύσεως τῇ τε Βακτριανῇ παρὰ τὸ ἐκτεθειμένον τοῦ Ὤξου τμῆμα, καὶ τοῖς ἰδίως καλουμένοις Καυκασίοις ὄρεσι κατὰ τὴν ἐπιζευγνύουσαν γραμμὴν τό τε εἰρημένον πέρας καὶ τὰς τοῦ Ὤξου πηγάς. Διατείνει δὲ ὄρη μεταξὺ τῶν δύο ποταμῶν καλούμενα Σόγδια, ὧν τὰ πέρατα .

6 12 2 . ρι α μ ζ καὶ ...................... ρκ β μ ς ∠ ′ ἀφ’ ὧν ποταμοὶ διαῤῥέουσι συμβάλλοντες ἐκείνοις πλείους ἀνώνυμοι, ὧν εἷς ποιεῖ τὴν Ὠξειανὴν λίμνην, ἧς τὸ μέσον ἐπέχει μοίρας .

6 12 3 ...... ρι α μ ε· καὶ ἄλλοι δὲ δύο ἀπὸ τῆς αὐτῆς ὀρεινῆς, ἀφ’ ἧς καὶ ὁ Ἰαξάρτης, φερόμενοι· καλεῖται δὲ καὶ ἡ ὀρεινὴ Κωμηδῶν· συμβάλλουσι δὲ θάτεροι τῷ Ἰαξάρτῃ· ὀνομάζεται δὲ ὁ μὲν ἕτερος αὐτῶν Δῆμος, οὗ αἱ μὲν πηγαὶ ἐπέχουσι μοίρας .. ρκ δ μ γ ἡ δὲ πρὸς τὸν Ἰαξάρτην ποταμὸν συναφὴ .................. ρκ γ μζ ὁ δὲ ἕτερος Βασκατὶς, οὗ αἱ μὲν πηγαὶ ἐπέχουσι μοίρας ......... ρκ γ μγ ἡ δὲ πρὸς τὸν Ἰαξάρτην ποταμὸν συναφή .................. ρκ α μ ζ ∠ ′. Κατέχουσι δὲ τῆς χώρας τὰ μὲν πρὸς τοῖς Ὠξείοις ὄρεσι Πάσκαι, τὰ δὲ πρὸς τῷ ἀρκτικῷ τμήματι τοῦ Ἰαξάρτου Ἰάτιοι, καὶ Τάχοροι, ὑφ’ οὓς Αὐγαλο ί, εἶτα παρὰ τὰ Σόγδια ὄρη Ὀξυδρᾶγκαι, καὶ Δρυβάκται, καὶ Κάνδαροι, ὑπὸ δὲ τὰ ὄρη Μαρδυηνο ί, καὶ παρὰ τὸν Ὦξον Ὠξειανο ί, καὶ Χωράσμιοι, τὰ δὲ τούτων ἀνατολικώτερα Δρεψιανοὶ μὲν ἐπιζευγνύοντες ἀμφοτέρους τοὺς ποταμοὺς, ἔτι δὲ τούτων ἀνατολικώτεροι Ἀνιέσεις μὲν παρὰ τὸν Ἰαξάρτην, Κιῤῥᾶδαι δὲ (ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κιῤῥοδεεῖς) παρὰ τὸν Ὦξον, καὶ μεταξὺ τοῦ τε Καυκάσου ὄρους καὶ τοῦ Ἰμάου ἡ καλουμένη Οὐανδάβανδ α. [20]

6 12 5 Ὀρειναὶ δέ εἰσι πόλεις τῶν Σογδιανῶν παρὰ τὸν Ἰαξάρτην αἵδε· Κυρεσχάτα ............ ρκ δ μ γ γο′ παρὰ δὲ τὸν Ὦξον Ὠξείανα .............. ρι ζ ∠ ′ μ δ γ′ Μαροῦκα ............. ρι ζ δ′ μ γ γο′ Χολβησίνα ............ ρκ α μγ · Μεταξὺ δὲ καὶ ἀνωτέρω τῶν ποταμῶν Τρυβάκτρα . [5]

6 12 6 ........... ρι β δ′ μ ε ∠ ′ Ἀλεξάνδρεια Ὠξειανή ...... ρι γ μ δ γ′ Ἰνδικομορδάνα .......... ρι ε μ δ γ′ Δρέψα μητρόπολις (ἢ Ῥέψα) ρ κ μ ε Ἀλεξάνδρεια Ἐσχάτη ...... ρκ β μα. Σακῶν θέσις. [5]

6 13 T [Ἀσίας πίναξ ζ′.] Οἱ Σάκαι περιορίζονται ἀπὸ μὲν δύσεως Σογδιανοῖς κατὰ τὴν ἐκτεθειμένην αὐτῶν ἀνατολικὴν πλευρὰν, ἀπὸ δὲ ἄρκτων Σκυθίᾳ κατὰ παράλληλον γραμμὴν τῇ ἀπὸ τοῦ Ἰαξάρτου ποταμοῦ ἐπιστροφῇ μέχρι πέρατος, οὗ ἡ θέσις ἐπέχει μοίρας . [5]

6 13 1 .................. ρ λ μ θ ἀπὸ δὲ ἀνατολῶν ὁμοίως Σκυθίᾳ παρὰ τὰς ἐντεῦθεν ἐκβαλλομένας γραμμὰς, διά τε τοῦ ἐφεξῆς ὄρους, ὃ καλεῖται Ἀσκατάγκας μέχρι τοῦ κατὰ τὸ Ἴμαον ὄρος ὁρμητηρίου τῶν εἰς τὴν Σήραν ἐμπορευομένων, ὃ ἐπέχει μοίρας ... ρ μ μ γ καὶ διὰ τοῦ πρὸς ἄρκτους ἀνιόντος Ἰμάου ὄρους μέχρι πέρατος, ὃ ἐπέχει μοίρας ........ ρμ γ λε · ἀπὸ δὲ μεσημβρίας αὐτῷ τῷ Ἰμάῳ ὄρει κατὰ τὴν ἐπιζευγνύουσαν τὰ ἐκκείμενα πέρατα γραμμήν. Ἡ τῶν Σακῶν χώρα Νομάδων ἐστί· πόλεις δὲ οὐκ ἔχουσι, δρυμοὺς δὲ καὶ σπήλαια οἰκοῦσιν. [15]

6 13 2 Ἔστι δ’ ἐν τοῖς Σάκαις ἥ τε εἰρημένη τῶν Κωμηδῶν ὀρεινὴ, ἧς ἡ μὲν ἀνάβασις ἀπὸ τῶν Σογδιανῶν ἐπέχει μοίρας ....... ρκ ε μ γ τὰ δὲ πρὸς τῇ φάραγγι τῶν Κωμηδῶν μοίρας ................ ρ λ λ θ καὶ ὁ καλούμενος Λίθινος Πύργος ἐπέχει μοίρας .............. ρλ ε μ γ. Καλοῦνται δὲ αὐτῶν οἱ μὲν παρὰ τὸν Ἰαξάρτην Καράται, καὶ Κόμαροι, οἱ δὲ ὑπὲρ τὴν ὀρεινὴν πᾶσαν Κωμῆδαι, οἱ δὲ παρὰ τὸν Ἀσκατάγκαν Μασσαγέται, οἱ δὲ μεταξὺ Γρυναῖοι Σκύθαι, καὶ Τοόρναι, ὑφ’ οὓς παρὰ τὸ Ἴμαον ὄρος Βῦλτα ι. [5]

6 14 T Σκυθίας τῆς ἐν τὸς Ἰμάου ὄρους θέσις. [Ἀσίας πίναξ ζ′.] Ἡ ἐντὸς Ἰμάου ὄρους Σκυθία περιορίζεται ἀπὸ μὲν δύσεως Σαρματίᾳ τῇ ἐν Ἀσίᾳ κατὰ τὴν ἐκτεθειμένην πλευρὰν, ἀπὸ δὲ ἄρκτων ἀγνώστῳ γῇ, ἀπὸ δὲ ἀνατολῶν τῷ πρὸς τὰς ἄρκτους ἀνιόντι Ἰμάῳ ὄρει κατὰ μεσημβρινήν πως γραμμὴν τὴν ἀπὸ τοῦ εἰρημένου ὁρμητηρίου μέχρι τῆς ἀγνώστου γῆς . [5]

6 14 1 ............. ρ μ ξ γ ἀπὸ δὲ μεσημβρίας καὶ ἔτι ἀνατολῶν Σάκαις μὲν καὶ Σογδιανοῖς καὶ Μαργιανῇ κατὰ τὰς ἐκτεθειμένας αὐτῶν γραμμὰς μέχρι τῶν τοῦ Ὤξου ποταμοῦ εἰς τὴν Ὑρκανίαν θάλασσαν ἐκβολῶν, ἔτι δὲ τῷ ἐντεῦθεν μέχρι τοῦ Ῥᾶ ποταμοῦ μέρει τῆς Ὑρκανίας θαλάσσης κατὰ περιγραφὴν τοιαύτην. Ἡ δ’ ἐπιστροφὴ τοῦ Ῥᾶ ποταμοῦ, ἐν ᾗ τὸ ὅριον τῆς τε Σαρματίας καὶ τῆς Σκυθίας . [10]

6 14 2 ................. π ε ν δ μετὰ τὰς τοῦ Ῥᾶ ποταμοῦ ἐκβολὰς, αἳ ἐπέχουσι μοίρας ............ π ζ ∠ ′ μ η ∠ ′γ Ῥυμμοῦ ποταμοῦ ἐκβολαί ....... ϙ α μ η ∠ ′δ Δαΐκος ποταμοῦ ἐκβολαί ........ ϙ δ μ η ∠ ′δ Ἰαξάρτου ποταμοῦ ἐκβολαί ...... ϙ ζ μ η Ἰάστου ποταμοῦ ἐκβολαί ....... ρ μ ζ γ′ Πολυτιμήτου ποταμοῦ ἐκβολαί .. ρ γ μ ε ∠ ′ Ἀσπαβώτα πόλις ............. ρ β μ δ μεθ’ ἣν αἱ τοῦ Ὤξου ποταμοῦ ἐκβολαί. Ὄρη δὲ ὀνομάζεται τῆς ἐντὸς Ἰμάου ὄρους Σκυθίας τά τε ἀνατολικώτερα τῶν Ὑπερβορείων καὶ τὰ καλούμενα Ἀλανὰ, ὧν τὰ πέρατα ἐπέχει μοίρας . [10]

6 14 3 ......... ρ ε ν θ καὶ ...................... ρι η ν θ ∠ ′· καὶ τὰ Ῥυμμικὰ, ὧν τὰ πέρατα ἐπέχει μοίρας . [5]

6 14 4 .......... ϙ ν δ καὶ ..................... ϙ θ ν ζ ∠ ′ ἀφ’ ὧν ῥέουσιν ὅ τε Ῥυμμὸς καὶ ἄλλοι τινὲς εἰς τὸν Ῥᾶ ποταμὸν ἐκβάλλοντες, συμβάλλοντες τῷ Δάϊκι ποταμῷ· καὶ τὸ Νόροσσον ὄρος, οὗ τὰ πέρατα ἐπέχει μοίρας . [5]

6 14 5

....... ϙ ζ ν γ ∠ ′ καὶ ...................... ρ ϛ ν β ∠ ′ ἀπὸ δὲ τούτου ῥεῖ ὅ τε Δάϊξ καὶ ἄλλοι τινὲς συμβάλλοντες τῷ Ἰαξάρτῃ ποταμῷ· καὶ τὰ καλούμενα Ἀσπίσια ὄρη, ὧν τὰ πέρατα ἐπέχει μοίρας .

6 14 6 . ρι α ν ε ∠ ′ καὶ ...................... ρι ζ ν β ∠ ′ καὶ ἀπὸ τούτων δέ τινες ῥέουσιν εἰς τὸν Ἰαξάρτην ποταμόν· καὶ τὰ καλούμενα ὄρη Τάπουρα, ὧν τὰ πέρατα ἐπέχει μοίρας ρ κ ν ϛ καὶ .

6 14 7 .................... ρκ ε μ θ ἀφ’ ὧν πάλιν εἰς τὸν Ἰαξάρτην ῥέουσί τινες ποταμοί. πρὸς δὲ τούτοις ἐν βάθει τῆς ποταμίας τά τε Σύηβα ὄρη, ὧν τὰ πέρατα ἐπέχει μοίρας .

6 14 8 .................... ρκ α ν η καὶ ...................... ρλ β ξ β καὶ τὰ καλούμενα Ἀνάρεα ὄρη, ὧν τὰ πέρατα ἐπέχει μοίρας ........ ρ λ ν ϛ καὶ ...................... ρλ ζ ν μεθ’ ἅ ἐστιν ἡ πρὸς τὰς ἄρκτους ἀνατεταμένη τοῦ Ἰμάου ἐπιστροφή. Κατανέμονται δὲ ταύτης τῆς Σκυθίας τὴν μὲν πρὸς ἄρκτους πᾶσαν ἐγγὺς τῆς ἀγνώστου οἱ κοινῶς καλούμενοι Ἀλανοὶ Σκύθαι, καὶ οἱ Σουοβηνο ί, καὶ Ἀλανορσο ί, τὴν δὲ ὑπὸ τούτοις Σαιτιανο ί, καὶ Μασσαῖοι, καὶ Σύηβοι, καὶ παρὰ τὸ Ἴμαον τὸ ἐκτὸς Τεκτόσακες, ἔτι δὲ παρὰ μὲν τὰς ἀνατολικωτέρας τοῦ Ῥᾶ ποταμοῦ πηγὰς Ῥόβοσκοι, ὑφ’ οὓς Ἀσμανο ί, εἶτα Πανίαρδοι, ὑφ’ οὓς ἤδη πρὸς τῷ ποταμῷ ἥ τε Κανοδιψὰς χώρα, καὶ ὑπ’ αὐτὴν Κόραξοι, εἶτα Ὄργασοι, μεθ’ οὓς μέχρι τῆς θαλάσσης Ἐρύμμοι, ὧν πρὸς ἀνατολὰς Ἀσιῶται, εἶτα Ἄορσοι, μεθ’ οὓς Ἰαξάρται μέγα ἔθνος παρὰ τὸν ὁμώνυμον ποταμὸν μέχρι τῆς πρὸς τοῖς Ταπούροις ὄρεσιν ἐπιστροφῆς, πάλιν δὲ ὑπὸ μὲν τοὺς Σαιτιανοὺς Μολογηνο ί, ὑφ’ οὓς μέχρι τῶν Ῥυμμικῶν ὀρῶν Σαμνῖτα ι· ὑπὸ δὲ τοὺς Μασσαίους καὶ τὰ Ἀλανὰ ὄρη Ζαράται, καὶ Σάσονες, καὶ ἀνατολικώτεροι μὲν τῶν Ῥυμμικῶν ὀρῶν Τυβιάκαι, μεθ’ οὓς ὑπὸ τοὺς Ζαράτας Ταβιηνο ί, καὶ Ἰᾶσται, καὶ Μαχαιτηγοὶ παρὰ τὸ Νόροσσον τὸ ὄρος, ὑφ’ οὓς Νοροσβεῖς, καὶ Νόροσσοι, καὶ ὑπὸ τούτους οἱ Καχάγαι Σκύθαι παρὰ τοὺς Ἰαξάρτας.

6 14 12 Εἰσὶ δὲ καὶ τῶν Ἀσπισίων ὀρῶν δυσμικώτεροι μὲν οἱ Ἀσπίσιοι Σκύθαι, ἀνατολικώτεροι δὲ οἱ Γαλακτοφάγοι Σκύθαι, ὁμοίως δὲ καὶ τῶν μὲν Ταπούρων ὀρῶν καὶ τῶν Συήβων Σκυθῶν ἀνατολικώτεροι κατανέμονται Ταπούρεο ι· τῶν δὲ Ἀναρέων ὀρῶν καὶ τοῦ Ἀσκατάγκα ὄρους ὑπέρκεινται οἱ ὁμώνυμοι Σκύθαι, Ἀνάρεοι μὲν ὑπὸ τοὺς Ἀλανορσούς, Ἀσκατάγκαι δὲ ἀνατολικώτεροι τῶν Ταπουρέων καὶ μέχρι τοῦ Ἰμάου ὄρους· τὰ δὲ μεταξὺ τῶν Ταπούρων ὀρῶν καὶ τοῦ πρὸς ταῖς ἐκβολαῖς κλίματος τοῦ Ἰαξάρτου καὶ τῆς μεταξὺ τῶν δύο ποταμῶν παραλίας κατέχουσιν Ἀριάκαι μὲν παρὰ τὸν Ἰαξάρτην, ὑπὸ τούτους δὲ Ναμάσται, εἶτα Σαγαραῦκαι, καὶ παρὰ τὸν Ὦξον ποταμὸν Ῥίβιοι, ἐν οἷς πόλις Δαύαβα .

6 14 14 .............. ρ δ με. Σκυθίας τῆς ἐκτὸς Ἰμάου ὄρους θέσις.

6 15 T [Ἀσίας πίναξ η′.] Ἡ ἐκτὸς Ἰμάου ὄρους Σκυθία περιορίζεται ἀπὸ μὲν δύσεως τῇ ἐντὸς Σκυθίᾳ καὶ Σάκαις παρ’ ὅλην τὴν πρὸς ἄρκτους ἐκτροπὴν τῶν ὀρῶν, ἀπὸ δὲ ἄρκτων τῇ ἀγνώστῳ γῇ, ἀπὸ δὲ ἀνατολῶν Σηρικῇ κατ’ εὐθείαν γραμμὴν, ἧς τὰ πέρατα ἐπέχει μοίρας .

6 15 1 .......... ρ ν ξ γ καὶ ...................... ρ ξ λ ε ἀπὸ δὲ μεσημβρίας μέρει τῆς ἐκτὸς Γάγγου ποταμοῦ Ἰνδικῆς κατὰ τὴν ἐπιζευγνύουσαν τὰ ἐκτεθειμένα πέρατα κατὰ παράλληλον γραμμήν. Κεῖται δὲ ἐν τούτῳ τῷ τμήματι τό τε τῶν Αὐξακίων ὀρῶν δυτικὸν μέρος, οὗ πέρατα ἐπέχει μοίρας .

6 15 2 ......... ρμ θ μ θ καὶ ...................... ρξ ε ν δ καὶ τὸ τῶν καλουμένων Κασίων δυτικὸν, οὗ τὸ πέρας ἐπέχει μοίρας ... ρν β μ α καὶ ...................... ρξ β μ δ καὶ τὸ τῶν Ἠμωδῶν ὁμοίως δυτικὸν, οὗ τὸ πέρας ἐπέχει μοίρας ....... ρν γ λ ϛ καὶ ...................... ρξ ε λ ϛ καὶ πρὸς τοῖς Αὐξακίοις πηγὴ τοῦ Οἰχάρδου ποταμοῦ ἐπέχουσα μοίρας ρν γ ν α. Κατέχουσι δὲ ταύτης τῆς Σκυθίας τὰ μὲν ἀρκτικὰ Ἄβιοι Σκύθαι, τὰ δὲ ὑπὸ τούτους Ἱπποφάγοι Σκύθαι, μεθ’ οὓς ἡ Αὐξακῖτις ἐκτέταται χώρα, καὶ ὑπὸ ταύτην ἔτι παρὰ τὸ εἰρημένον ὁρμητήριον ἡ Κασία χώρ α, ὑφ’ ἣν Χάται Σκύθαι, εἶτα ἡ Ἀχάσα χώρ α, καὶ ὑπ’ αὐτὴν παρὰ τὰ Ἠμωδὰ ὄρη Χαραυναῖοι Σκύθα ι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

6 15 4 Πόλεις δέ εἰσιν ἐν τούτῳ τῷ τμήματι αἵδε· Αὐξακία .............. ρμ δ μ θ γοʹ Ἰσσηδὼν Σκυθικὴ ........ ρ ν μ η ∠ʹ Χαύρανα ............. ρ ν λ ζ δʹ Σοῖτα ................ ρμ ε λ ε γʹ. Σηρικῆς θέσις.

6 16 T [Ἀσίας πίναξ ηʹ.] Ἡ Σηρικὴ περιορίζεται ἀπὸ μὲν δύσεως τῇ ἐκτὸς Ἰμάου ὄρους Σκυθίᾳ, κατὰ τὴν ἐκτεθειμένην γραμμὴν, ἀπὸ δὲ ἄρκτων ἀγνώστῳ γῇ παρὰ τὸν αὐτὸν τῷ διὰ Θούλης παράλληλον, ὁμοίως δὲ καὶ ἀπὸ ἀνατολῶν ἀγνώστῳ γῇ κατὰ μεσημβρινὴν γραμμὴν, ἧς τὰ πέρατα ἐπέχει μοίρας .

6 16 1 .................... ρ π ξ γ καὶ ...................... ρ π λε ἀπὸ δὲ μεσημβρίας τῷ τε λοιπῷ μέρει τῆς ἐκτὸς Γάγγου Ἰνδικῆς διὰ τῆς αὐτῆς παραλλήλου γραμμῆς μέχρι πέρατος, οὗ ἡ θέσις ἐπέχει μοίρας ................... ρο γ λ ε καὶ ἔτι Σίναις διὰ τῆς προσεκβαλλομένης γραμμῆς μέχρι τοῦ ἐκτεθειμένου πρὸς τῇ ἀγνώστῳ γῇ πέρατος. Ὄρη δὲ διέζωκε τὴν Σηρικὴν τά τε καλούμενα Ἄννιβα, ὧν τὰ πέρατα ἐπέχει μοίρας .

6 16 2 .................... ρν γ ξ καὶ ..................... ρο α ν ς καὶ τῶν Αὐξακίων τὸ ἀνατολικὸν μέρος, οὗ τὸ πέρας ἐπέχει μοίρας .. ρξ ε ν δ καὶ τὰ καλούμενα Ἀσμίραια ὄρη, ὧν τὰ πέρατα ἐπέχει μοίρας ........ ρξ ζ μ ζ ∠ʹ καὶ ..................... ρο δ μ ζ ∠ʹ καὶ τῶν Κασίων τὸ ἀνατολικὸν μέρος, οὗ τὸ πέρας ἐπέχει μοίρας ... ρξ β μ δ καὶ ..................... ρο α μ καὶ τὸ Θάγουρον ὄρος, οὗ τὸ μέσον ἐπέχει μοίρας .............. ρ ο μ γ ἔτι δὲ καὶ τῶν Ἠμωδῶν καὶ Σηρικῶν καλουμένων τὸ ἀνατολικὸν μέρος, οὗ τὸ πέρας ἐπέχει μοίρας ................ ρξ ε λ ς καὶ τὸ καλούμενον Ὀττοροκόῤῥας, οὗ τὰ πέρατα ἐπέχει μοίρας ..... ρξ θ λ ς καὶ ..................... ρο ς λ θ . Διαῤῥέουσι δὲ δύο μάλιστα ποταμοὶ τὸ πολὺ τῆς Σηρικῆς, ὅ τε Οἰχάρδης, οὗ ἡ μὲν πρὸς τοῖς Αὐξακίοις πηγὴ ἐκτέθειται, ἡ δὲ πρὸς τοῖς Ἀσμιραίοις ὄρεσιν ἐπέχει μοίρας .

7 4 12 .............. ρι η νότ. γο′ Φίληκος ............... ρι ϛ ∠ ′ νότ. β γο′ Εἰρήνη ................ ρ κ νότ. β ∠ ′ Καλανδαδρούα .......... ρκ α νότ. ε ∠ ′ Ἀβράνα ............... ρκ ε νότ. δ γ′ Βάσσα ................ ρ κϛ νότ. ϛ ∠ ′ Βαλάκα ............... ρκ θ νότ. ε ∠ ′ Ἄλαβα ................ ρλ α νότ. δ Γουμάρα .............. ρλ γ νότ. α γο′· Ζάβα .

7 4 13 ................ ρλ ε ἰσημερινός Ζίβαλα ................ ρλ ε βορ. δ δ′ Ναγάδιβα ............. ρλ ε η ∠ ′ Σουσουάρα ............. ρλ ε ι α δ′. Ἡ μὲν οὖν τῶν τῆς οἰκουμένης ἐπαρχιῶν τε καὶ σατραπιῶν κατὰ μέρος ὑφήγησις τοῦτον ἡμῖν ἐφωδεύσθω τὸν τρόπον.

7 4 14 Ἐπεὶ δὲ ὑπεδείξαμεν ἐν ἀρχῇ τῆς συντάξεως, πῶς ἂν καταγράφοιτο τὸ ἐγνωσμένον τῆς γῆς μέρος ἐπί τε σφαίρας, καὶ ἔτι εἰς ἐπίπεδον ἐπιφάνειαν, ὁμοίως τε καὶ συμμέτρως ὡς ἔνι μάλιστα τοῖς ἐπὶ τῆς στερεᾶς σφαίρας καταλαμβανομένοις, ἁρμόζει δὲ ταῖς τοιαύταις τῆς ὅλης οἰκουμένης ἐκθέσεσιν ὑπογραφήν τινα κεφαλαιώδη παραθέσθαι πρὸς ἔνδειξιν τῶν καθόλου θεωρουμένων· γένοιτο ἂν καὶ αὕτη κατὰ τὸν προσήκοντα λόγον, εἰ οὕτως ἔχει. Ὑπογραφὴ κεφαλαιώδης τοῦ τῆς οἰκουμένης πίνακος.

7 5 1 Τῆς καθ’ ἡμᾶς οἰκουμένης ἐν ἠπείροις διῃρημένης τρισὶν ὑπὸ τῶν ἀρχαιοτέρων κατὰ μέρος ἐπ’ ἀκριβὲς ἱστορησάντων ἀναγραφάς τε καταλελοιπότων τοῖς καθ’ ἕκαστον, ὡς ἐν ἱστορίᾳ, καὶ αὐτοὶ προσεπενοήσαμεν, τὰ μὲν ἑωρακότες, τὰ δὲ καὶ παρ’ αὐτῶν ἀκριβῶς ἐκλαβόντες, πίνακος ὥσπερ τρόπον πάσης τῆς οἰκουμένης ὑποτυπῶσαι, ὡς ἂν μηδὲν τοῖς φιλομαθέσιν ἄπειρον ᾖ τῶν κατὰ μέρος χρησίμων μεθ’ ἱστορίας ψυχὴν κοσμεῖν, καὶ διεγείρειν εἰς ὀξύνοιαν

φυσικὴν δυναμένων. Τῆς γῆς τὸ κατὰ τὴν ἡμετέραν οἰκουμένην μέρος περιορίζεται ἀπὸ μὲν ἀνατολῶν ἀγνώστῳ γῇ τῇ παρακειμένῃ τοῖς ἀνατολικοῖς ἔθνεσι τῆς Μεγάλης Ἀσίας Σίναις τε καὶ τοῖς ἐν τῇ Σηρικῇ, ἀπὸ δὲ μεσημβρίας ὁμοίως ἀγνώστῳ γῇ νῇ περικλειούσῃ τὸ Ἰνδικὸν πέλαγος καὶ τῇ περιεχούσῃ τὴν ἀπὸ μεσημβρίας τῆς Λιβύης Αἰθιοπίαν Ἀγίσυμβα χώραν καλουμένην, ἀπὸ δὲ δυσμῶν τῇ τε ἀγνώστῃ γῇ τῇ περιλαμβανούσῃ τὸν Αἰθιοπικὸν κόλπον τῆς Λιβύης, καὶ τῷ ἐφεξῆς δυτικῷ Ὠκεανῷ, παρακειμένῳ τοῖς τῆς Λιβύης καὶ τῆς Εὐρώπης δυσμικωτάτοις μέρεσιν, ἀπ’ ἄρκτων δὲ τῷ συνημμένῳ ὠκεανῷ, τῷ περιέχοντι τὰς Βρετανικὰς νήσους καὶ τὰ βορειότατα τῆς Εὐρώπης, καλουμένῳ δὲ Δουηκαλυδονίῳ τε καὶ Σαρματικῷ καὶ τῇ ἀγνώστῳ γῇ παρακειμένῃ ταῖς ἀρκτικωτάταις χώραις τῆς Μεγάλης Ἀσίας, Σαρματίᾳ καὶ Σκυθίᾳ, καὶ Σηρικῇ. [15]

7 5 3 Τῶν δὲ περιλαμβανομένων ὑπὸ τῆς οἰκουμένης θαλασσῶν ἡ μὲν καθ’ ἡμᾶς μετὰ τῶν συνημμένων αὐτῇ κόλπων παρά τε τὸν Ἀδρίαν κόλπον, καὶ τὸ Αἰγαῖον πέλαγος, καὶ τὴν Προποντίδα καὶ τὸν Πόντον, καὶ τὴν Μαιῶτιν λίμνην, ἀνεστόμωται πρὸς τὸν Ὠκεανὸν διὰ μόνου τοῦ Ἡρακλείου πορθμοῦ, Χερσονήσου δίκην ἰσθμὸν ὡσπερεὶ ποιοῦσα τοῦ πελάγους τὸν πορθμόν. Ἡ δὲ Ὑρκανία ἡ καὶ Κασπία θάλασσα πάντοθεν ὑπὸ τῆς γῆς περικέκλεισται νήσῳ κατὰ τὸ ἀντικείμενον παραπλησίως· ὁμοίως δὲ καὶ ἡ περὶ τὸ Ἰνδικὸν πέλαγος πᾶσα μετὰ τῶν συνημμένων αὐτῇ κόλπων παρά τε τὸν Ἀράβιον κόλπον καὶ τὸν Περσικὸν, καὶ τὸν Γαγγητικὸν, καὶ τὸν ἰδίως καλούμενον Μέγαν κόλπον, περιεχομένη καὶ αὐτὴ πάντοθεν ὑπὸ τῆς γῆς. [5]

7 5 5 Διὸ καὶ τῶν τριῶν ἠπείρων ἡ μὲν Ἀσία συνάπτει τῇ τε Λιβύῃ, καὶ διὰ τοῦ κατὰ τὴν Ἀραβίαν αὐχένος, ὃς καὶ χωρίζει τὴν καθ’ ἡμᾶς θάλασσαν ἀπὸ τοῦ Ἀραβικοῦ κόλπου, καὶ διὰ τῆς περιεχούσης τὸ Ἰνδικὸν πέλαγος ἀγνώστου γῆς. Καὶ τῇ Εὐρώπῃ δὲ συνάπτει διὰ τοῦ μεταξὺ αὐχένος τῆς τε Μαιώτιδος λίμνης καὶ τοῦ Σαρματικοῦ Ὠκεανοῦ ἐπὶ τῆς διαβάσεως τοῦ Ταναΐδος ποταμοῦ. [5]

7 5 7 Ἡ δὲ Λιβύη τῆς Εὐρώπης ἀπείργεται μόνῳ τῷ πορθμῷ, καθ’ ἑαυτὴν μὲν μὴ συνάπτουσα μηδαμῶς, διὰ δὲ τῆς Ἀσίας πάντως, ἐπειδὴ καὶ αὐτὴ τούτων ἑκατέρᾳ συνάπτει, ἀντιπαρήκουσα κατὰ ἀνατολὰς ἀμφοτέραις. Καὶ ἔτι πρώτη μὲν τῶν ἠπείρων μεγέθους ἕνεκέν ἐστιν Ἀσία, δευτέρα δὲ Λιβύη, τρίτη δὲ Εὐρώπη. [5]

7 5 9 Ὁμοίως δὲ καὶ τῶν εἰρημένων ἐμπεριέχεσθαι τῇ γῇ θαλασσῶν, πρώτη μέν ἐστι μεγέθει πάλιν ἡ κατὰ τὸ Ἰνδικὸν πέλαγος, δευτέρα δὲ ἡ καθ’ ἡμᾶς, τρίτη δὲ ἡ Ὑρκανία ἡ καὶ Κασπία. Ἔτι δὲ καὶ τῶν μὲν ἀξιολογωτέρων κόλπων πρῶτος μὲν καὶ μείζων ὁμοίως ὁ Γαγγητικὸς, δεύτερος δὲ ὁ Περσικὸς, τρίτος δὲ ὁ Μέγας, τέταρτος δὲ ὁ Ἀραβικὸς, πέμπτος δὲ ὁ Αἰθιοπικὸς, ἕκτος δὲ ὁ τοῦ Πόντου, ἕβδομος δὲ ὁ τοῦ Αἰγαίου πελάγους, ὄγδοος δὲ ὁ τῆς Μαιώτιδος λίμνης, ἔννατος δὲ ὁ Ἀδρίας, δέκατος δὲ ὁ τῆς Προποντίδος. [5]

7 5 11 Τῶν δὲ ἀξιολογωτέρων νήσων ἢ χερσονήσων πρώτη μὲν Ταπροβάνη, δευτέρα δὲ τῶν Βρετανικῶν ἡ Ἀλουΐωνος, τρίτη δὲ ἡ Χρυσῆ Χερσόνησος, τετάρτη δὲ τῶν Βρετανικῶν ἡ Ἰουερνία, πέμπτη δὲ ἡ Πελοπόννησος, ἕκτη δὲ ἡ Σικελία, ἑβδόμη δὲ ἡ Σαρδώ, ὀγδόη δὲ ἡ Κύρνος, ἐννάτη δὲ ἡ Κρήτη, δεκάτη δὲ ἡ Κύπρος. Ὁρίζει δὲ τὸ μεσημβρινὸν τῆς ἐγνωσμένης γῆς πέρας παράλληλος ὁ νοτιώτερος τοῦ ἰσημερινοῦ τοῦ μοίρας ι ϛ γιβ′, οἵων ἐστὶν ὁ μέγιστος κύκλος τ ξ· ὅσαις μοίραις καὶ ὁ διὰ Μερόης τοῦ ἰσημερινοῦ τυγχάνει βορειότερος· τὸ δὲ ἀρκτικὸν πέρας ὁρίζει παράλληλος ὁ βορειότερος τοῦ ἰσημερινοῦ μοίραις ξ γ , γραφόμενος δὲ διὰ Θούλης τῆς νήσου· ὡς γίγνεσθαι τὸ ἐγνωσμένον αὐτῆς πλάτος μοιρῶν μὲν ο θ γιβ′, ἢ καὶ ὅλων π , σταδίων δὲ τετρακισμυρίων ἔγγιστα· ὡς τῆς μὲν μιᾶς μοίρας πεντακοσίους περιεχούσης σταδίους, ὅπερ ἐκ τῶν ἀκριβεστέρων ἀναμετρήσεων κατελήφθη, τῆς δὲ ὅλης γῆς περίμετρον μυριάδων ι η . [10]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

7 5 13 Πάλιν δὲ καὶ τὸ μὲν ἀνατολικὸν πέρας τῆς ἐγνωσμένης γῆς ὁρίζει μεσημβρινὸς ὁ γραφόμενος διὰ τῆς τῶν Σινῶν μητροπόλεως, ἀπέχων τοῦ διὰ Ἀλεξανδρείας γραφομένου πρὸς ἀνατολὰς ἐπὶ τοῦ ἰσημερινοῦ μοίρας ρι θ ∠ʹ, ὀκτὼ δὲ ὥρας ἔγγιστα ἰσημερινάς· τὸ δὲ δυτικὸν πέρας ὁ γραφόμενος διὰ τῶν Μακάρων νήσων, ἀπέχων καὶ οὗτος τοῦ μὲν διὰ Ἀλεξανδρείας μοίρας ξ ∠ʹ τέσσαράς τε ὥρας ἰσημερινάς, τοῦ δ’ ἀνατολικωτάτου τὰς τοῦ ἡμικυκλίου μοίρας ρ π καὶ ι β ὥρας ἰσημερινάς· ὥστε συνάγεσθαι τὸ ἐγνωσμένον αὐτῆς μῆκος σταδίων, ἐπὶ μὲν τοῦ κατὰ τὸν ἰσημερινὸν τμήματος ἐννακισμυρίων, ἐπὶ δὲ τοῦ κατὰ τὸν νοτιώτατον αὐτῆς παράλληλον μυριάδων ὀκτὼ ͵ ϛτ λ γʹ ἔγγιστα, ἐπὶ δὲ τοῦ κατὰ τὸν βορειότατον, μυριάδων τεσσάρων· καὶ πάλιν ἐπὶ μὲν τοῦ διὰ τῆς Ῥόδου, ἐφ’ οὗ μάλιστα γεγόνασιν αἱ ἀναμετρήσεις, ἀπέχοντος τοῦ ἰσημερινοῦ μοίρας λ ϛ , σταδίων μυριάδων ἑπτὰ ͵ β ἔγγιστα· ἐπὶ δὲ τοῦ διὰ Συήνης, ὃς ἀπέχει τοῦ ἰσημερινοῦ μοίρας κ γ ∠ ʹγ, μέσος πως κείμενος τοῦ ὅλου πλάτους, μυριάδων ὀκτὼ ͵ βτ λ ϛ, κατὰ τὴν τῶν εἰρημένων παραλλήλων πρὸς τὸν ἰσημερινὸν ἀναλογίαν, ὡς γίνεσθαι τοῦ πλάτους τῆς οἰκουμένης μεῖζον τὸ μῆκος, ἐν μὲν τοῖς ἀρκτικωτάτοις κλίμασι τῷ πεντηκοστῷ ἔγγιστα τοῦ πλάτους, ἐν δὲ τοῖς διὰ τῆς Ῥόδου τῷ ἡμίσει πως καὶ τρίτῳ, ἐν δὲ τοῖς ὑπὸ τὸν διὰ Σῠήνης τῷ ἴσῳ καὶ ἔτι τῷ ὀκτωκαιδεκάτῳ ἔγγιστα· ἐν δὲ τοῖς μεσημβρινωτάτοις μέρεσι τῷ ἴσῳ καὶ ἔτι τῷ ἕκτῳ ἔγγιστα· ἐν δὲ τοῖς ὑπὸ τὸν ἰσημερινὸν τῷ ἴσῳ καὶ ἔτι τῷ τετάρτῳ· τὸ δὲ μέγεθος τῆς μεγίστης ἡμέρας ἢ νυκτὸς, ἐν μὲν τῷ νοτιωτάτῳ τῶν εἰρημένων παραλλήλων ὡρῶν ἰσημερινῶν ι γ , ὡσαύτως καὶ ἐν τῷ διὰ Μερόης, ἐν δὲ τῷ ἰσημερινῷ ρ μ ιβʹ, ἐν δὲ τῷ διὰ Σῠήνης ι γ ∠ ʹ, ἐν δὲ τῷ διὰ τῆς Ῥοδίας δεκατεσσάρων ∠ ʹ, ἐν δὲ τῷ βορειτοτάτῳ καὶ διὰ Θούλης κ , καὶ ἔτι τὴν τοῦ ὅλου πλάτους διαφορὰν ἐννέα ποιεῖν ὥρας ἰσημερινάς.

7 6 T Κρικωτῆς σφαίρας μετὰ τῆς οἰκουμένης καταγραφή. Ἡ μὲν οὖν ὑπογραφὴ τῆς καθόλου διαθέσεως μέχρι τῶν τοσούτων ἂν ἔχοι συμμέτρως· οὐκ ἄτοπον δὲ προσθεῖναι, πῶς ἂν τὸ φαινόμενον ἡμισφαίριον, ἐν ᾧ ἡ οἰκουμένη, καταγράφοιτο ἐν ἐπιπέδῳ, περιεχόμενον ὑπὸ σφαίρας κρικωτῆς.

7 6 1 Ἐπειδὴ πλείους μὲν ἐπικεχειρήκασι τῇ τοιαύτῃ δείξει, παραλογώτατα δὲ φαίνονται ταύτῃ κεχρημένοι. Προκείσθω δὴ κρικωτὴν σφαίραν ἐν ἐπιπέδῳ καταγράψαι μέρος ἐμπεριλαμβανομένην τῆς γῆς, ὡς τῆς ὄψεως θέσιν ἐχούσης, καθ’ ἣν ἡ ἐπ’ εὐθείας ἔσται ταῖς κοιναῖς τομαῖς τοῦ τε διὰ τῶν τροπικῶν σημείων μεσημβρινοῦ, ὑφ’ οὗ ὑποκείσεται καὶ ὁ τὸ μῆκος τῆς καθ’ ἡμᾶς οἰκουμένης διχοτομῶν καὶ τοῦ διὰ Συήνης ἐν τῇ γῇ γραφομένου παραλλήλου, δίχα καὶ αὐτοῦ τέμνοντος τῆς γῆς τὸ πλάτος τῆς οἰκουμένης.

7 6 3 Οὕτω δὲ ἐχέτωσαν οἱ λόγοι τῶν τε μεγεθῶν τῆς κρικωτῆς σφαίρας καὶ τῆς γῆς καὶ τοῦ τῆς ὄψεως ἀποστήματος, ὥστε ἐν τῷ μεταξὺ διαστήματι τοῦ τε κατὰ τὸν ἰσημερινὸν κρίκου καὶ τοῦ κατὰ τὸν θερινὸν τροπικὸν, ὅλον ἐμφαίνεσθαι τὸ ἐγνωσμένον μέρος τῆς γῆς, τοῦ νοτιωτέρου τῶν ἡμικυκλίων τοῦ διὰ μέσου τῶν ζωδίων κύκλου καθεστηκότος ὑπὲρ τὴν γῆν, ἵνα μηδ’ ὑπὸ τούτου τις ἐπιπρόσθεσις γένηται τῆς οἰκουμένης πρὸς τῷ βορείῳ τιθεμένης ἡμισφαιρίῳ. Ὅτι μὲν οὖν, τούτων ὑποκειμένων, οἱ μὲν εἰρημένοι μεσημβρινοὶ μιᾶς εὐθείας τῆς κατ’ αὐτὸν τὸν ἄξονα ποιήσονται φαντασίαν, ἅτε τῆς ὄψεως ἐν τῷ δι’ αὐτῶν ἐπιπέδῳ πιπτούσης καὶ ἔτι ὁ διὰ Συήνης παράλληλος ὀρθὸς πρὸς ἐκείνην διὰ τὴν ὁμοίαν αἰτίαν, οἱ δὲ λοιποὶ τῶν ἐντασσομένων κύκλων ἐπεστραμμένοι κατὰ τὰ κοῖλα φανήσονται πρὸς τὰς εὐθείας, οἱ μὲν μεσημβρινοὶ πρὸς τὴν διὰ τῶν πόλων, οἱ δὲ παράλληλοι πρὸς τὴν διὰ τῆς Συήνης, καὶ μᾶλλον οἱ πλεῖον αὐτῶν ἐφ’ ἑκάτερα διεστηκότες, αὐτόθεν ἐστὶ δῆλον.

7 6 5 Πῶς δ’ ἂν μεθοδεύοι μὲν τὴν καταγραφὴν ὁμοίαν ὡς ἔνι μάλιστα ταῖς ὀπτικαῖς διατυπώσεσι, πρόχειρον ἡμῖν ἔσται τόνδε τὸν τρόπον· Ἔστω ὁ διὰ τῶν ἰσημερινῶν σημείων ἐν τῇ κρικωτῇ

σφαίρᾳ μεσημβρινὸς ὁ α β γ δ περὶ κέντρον τὸ ε καὶ διάμετρον τὴν α ε γ, τοῦ μὲν α κατὰ τὸν βόρειον πόλον νοουμένου, τοῦ δὲ γ κατὰ τὸν νότιον.

7 6 6 Ἀπειλήφθωσάν τε αἱ μὲν β ζ καὶ δ η καὶ β θ καὶ δ κ περιφέρειαι ἐν ταῖς τῶν τροπικῶν ἀπὸ τοῦ ἰσημερινοῦ διαστάσεσιν, αἱ δὲ α λ καὶ α μ καὶ γ ν καὶ γ ξ, ἐν ταῖς ἀπὸ τῶν πόλων τοῦ ἀρκτικοῦ καὶ ἀνταρκτικοῦ, καὶ τεμνέτω ἡ τοῦ θερινοῦ διάμετρος τὴν α ε κατὰ τὸ ο. Ἐπεὶ τοίνυν τὸν διὰ Συήνης παράλληλον ἐν τῇ μεταξὺ τῆς ε ο ἔδει τὴν θέσιν ἔχειν, λόγος δὲ τῆς μὲν ἀπὸ τοῦ διὰ Συήνης ἐπὶ τὸν ἰσημερινὸν περιφερείας πρὸς τὸ τεταρτημόριον τῶν τεσσάρων ἔγγιστα πρὸς τὰ ι ε , τῆς δὲ ἡμισείας τῆς ε ο πρὸς τὴν ε α ὁ τῶν αὐτῶν τεσσάρων ἔγγιστα πρὸς τὰ τρία, ἐπίτριτος ἔσται ἡ ε α τῆς ἐκ τοῦ κέντρου τῆς γῆς.

7 6 7 Ἀπειλήφθω δ’ ἡ ε π τοιούτων τριῶν, οἵων ἐστὶ τεσσάρων ἡ ε α· καὶ κέντρῳ τῷ ε, διαστήματι δὲ τῷ ε π, γεγράφθω ὁ ἐν τῷ αὐτῷ ἐπιπέδῳ περιλαμβάνων τὴν γῆν κύκλος ὁ π ρ. Καὶ διαιρεθείσης τινὸς εὐθείας ἴσης τῇ ε π εἰς τὰ ἐνενήκοντα ἴσα τμήματα τοῦ ἑνὸς τεταρτημορίου, ἀπειλήφθω ἡ μὲν ε ο τμημάτων ξ γ , ἡ δὲ ε γ τμημάτων ι ς γιβ′, ἡ δὲ ε υ τῶν αὐτῶν ξγ · καὶ διήχθω ἡ φ ς χ πρὸς τὴν ε π, ὀρθὴ πίπτουσα δηλονότι κατὰ τὸν διὰ Συήνης παράλληλον. Ἔσται ἄρα τὸ μὲν τ, δι’ οὗ γραφήσεται ὁ ἀφορίζων τὸ νότιον πέρας τῆς οἰκουμένης παράλληλος καὶ ἀντικείμενος τῷ διὰ Μερόης.

7 6 8 τὸ δὲ υ, δι’ οὗ γραφήσεται ὁ ἀφορίζων τὸ βόρειον πέρας παράλληλος καὶ γραφόμενος διὰ Θούλης. Εἰλήφθω τι σημεῖον βραχεῖ νοτιώτερον τοῦ τ, ὡς τὸ ψ, καὶ ἐπεζεύχθω ἡ ψ δ, καὶ ἐκβληθεῖσαι αἱ ς χ, καὶ ψ δ, συμπιπτέτωσαν κατὰ τὸ ω.

7 6 9 Ἐὰν τοίνυν τούς τε ἐκκειμένους κύκλους νοῶμεν ἐν τῷ διὰ τῶν τροπικῶν σημείων καὶ τῶν πόλων ἐπιπέδῳ κατὰ τὴν ὄψιν ἐπὶ τοῦ ω διὰ τὰ ὑποκείμενα, αἱ μὲν ἀπὸ τοῦ ω διὰ τοῦ μ καὶ η καὶ δ καὶ κ καὶ ξ ἐκβαλλόμεναι ἐπὶ τὴν α γ ποιήσουσιν ἐπ’ αὐτῆς τὰς τομὰς, δι’ ὧν γραφήσεται τὰ πρὸς τῇ ὄψει τμήματα τῶν πέντε παραλλήλων, ὡς τὴν ψ, δι’ ἧς γραφήσεται τὸ τοῦ περὶ τὸ δ ἰσημερινοῦ· αἱ δὲ ἀπὸ τοῦ ω ἐπὶ τὸ λ καὶ ζ καὶ β καὶ θ καὶ η ἐπιζευγνύμεναι, ποιήσουσι τὰς πρὸς τὴν α γ τομάς, δι’ ὧν γραφήσεται τὰ πέντε τῆς γῆς τμήματα τῶν αὐτῶν παραλλήλων. Ὁμοίως δὲ καὶ τῶν ἐν τῇ γῇ γραφησομένων παραλλήλων λαμβάνοντες ἐπὶ τῆς π ρ τὰς οἰκείας τοῦ ἰσημερινοῦ ἀποχὰς, ὡς τὰς υ καὶ τ, τάς τε γινομένας τομὰς ὑπὸ τῶν ἐπ’ αὐτὰς ἐπιζευγνυμένων εὐθειῶν ἀπὸ τοῦ ω τοῦ π χ ρ ἡμικυκλίου, καὶ τὰς ἀντικειμένας αὐταῖς κατὰ παραλλήλους θέσεις, ἕξομεν, δι’ ὧν γραφήσεται τὰ εἰρημένων παραλλήλων τμήματα, ὡς τό τε α τ μ καὶ γ λ δ.

7 6 11 Ἀφ’ ὧν ἀπολαμβάνοντες τὰς τῶν ἐνταχθησομένων ἐφ’ ἑκάτερα τῆς τ υ μεσημβρινῶν ἀποχὰς, καὶ ἐπὶ τῆς φ χ εὐθείας ἐν τοῖς οἰκείοις τῶν τριῶν παραλλήλων λόγοις γράψομεν διὰ τῶν ὁμολόγων τριῶν σημείων τμήματα τῶν ὑποκειμένων μεσημβρινῶν, ὡς τῶν ἀφοριζόντων τὸ μῆκος τό τε ς ζ η καὶ θ καὶ ε. Τὸ μὲν οὖν πλῆθος τῶν ἐγγραφησομένων τῇ γῇ πρὸς τὸ μέγεθος τῆς καταγραφῆς ἁρμοστέον· ἐπὶ δὲ τῆς τῶν κρίκων παραβολῆς ἐκεῖνα παρατηρητέον, ὅπως ἔρχηται μὲν ἕκαστος διὰ τῶν εἰρημένων τεσσάρων σημείων, σχήματι δὲ ᾠοειδεῖ καὶ μὴ εἰς ὀξὺ λήγοντι ἐν τῇ πρὸς τὸν ἐξωτάτω κύκλον τομῇ, ἵνα μὴ κατάματος παράσχῃ φαντασίαν, ἀλλὰ κἀνταῦθα τὴν σύμμετρον περίστασιν τῇ ἐφεξῆς ἀπολαμβάνῃ, κἂν ἐκτὸς τοῦ περιέχοντος τὸ σχῆμα κύκλου πίπτωσιν αἱ τὴν ἔλλειψιν ἀπαρτίζουσαι κυρτότητες· ὃ καὶ ἐπὶ τῶν ἀληθινῶν φαίνεται συμπίπτον.

7 6 14 Προσεκτέον δὲ, ὅπως μὴ γραμμαὶ μόνον ὦσιν οἱ κύκλοι, μετὰ δέ τινος πλάτους συμμέτρου καὶ χρώματος διαφέροντος, καὶ ἔτι τὰ πέραν τῆς γῆς τμήματα σκιερώτερα περιέχῃ χρώματα τῶν πρὸς τῇ ὄψει, καὶ τῶν συμπιπτόντων τμημάτων τὰ πορρωτέρω τῆς ὄψεως ὑπὸ τῶν ἐγγυτέρω διακόπτηται ταῖς τῶν ἀληθινῶν ἐπιπροσθέσεσιν ἀκολούθως ἐπί τε τῶν κρίκων καὶ ἐπὶ τῆς γῆς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ὁ ζωδιακὸς ἐπέρχηται μὲν τῇ γῇ κατὰ τὸ νοτιώτερον ἡμικύκλιον καὶ διὰ τοῦ χειμερινοῦ τροπικοῦ, διακόπτηται δ’ ὑπ’ αὐτῆς κατὰ τὸ βόρειον καὶ διὰ τοῦ θερινοῦ τροπικοῦ. Παραγράψομεν δὲ καὶ ἐπὶ τούτων ἐν τοῖς ἐπικαίροις τόποις τὰς οἰκείας ὀνομασίας, καὶ ἔτι ἐπὶ μὲν τῶν ἐν τῇ γῇ κύκλων, τοὺς ὑποδεδειγμένους ἐν τῇ καταγραφῇ τῆς οἰκουμένης ἀριθμοὺς ἀποχῶν τε καὶ ὡρῶν, περὶ δὲ τὸν ἔξω κύκλον τὰς τῶν ἀνέμων προσηγορίας ἀκολούθως ταῖς ἐπὶ τῆς κρικωτῆς σφαίρας παρὰ τοὺς ἐκκειμένους πέντε παραλλήλους καὶ τοὺς πόλους διασημασίαις.

7 6 15 Σφαῖρα κρικωτή, Ὑπογραφὴ τοῦ ἐκπετάσματος.

7 7 1 Ὑπογραφὴ δ’ ἔσται καὶ τῆς τοιαύτης ἐκπετάσεως ἁρμόζουσά τε καὶ κεφαλαιώδης. Ἡ τοιαύτη τῆς κρικωκῆς σφαίρας ἐν ἐπιπέδῳ καταγραφὴ μετὰ τῆς ἐμπεριλαμβανομένης γῆς ὑπόκειται θέσιν ἔχουσα, καθ’ ἣν ἡ ὄψις ἐπ’ εὐθείας ἔσται ταῖς κοιναῖς τομαῖς τοῦ τε διὰ τῶν τροπικῶν σημείων μεσημβρινοῦ, ὑφ’ ὃν κεῖται καὶ ὁ τὸ μῆκος τῆς καθ’ ἡμᾶς οἰκουμένης διχοτομῶν, καὶ τοῦ διὰ Συήνης ἐν τῇ γῇ γραφομένου παραλλήλου, δίχα καὶ αὐτοῦ τέμνοντος ἔγγιστα τὸ πλάτος τῆς οἰκουμένης. Οὕτως δὲ ἔχουσιν οἱ λόγοι τῶν τε μεγεθῶν τῆς σφαίρας καὶ τῆς γῆς καὶ τοῦ τῆς ὄψεως ἀποστήματος, ὥστε ἐν τῷ μεταξὺ διαλείμματι τοῦ τε κατὰ τὸν ἰσημερινὸν καὶ τοῦ κατὰ τὸν θερινὸν τροπικὸν ὅλον διαφαίνεσθαι τὸ ἐγνωσμένον μέρος τῆς γῆς, τοῦ νοτιωτέρου τῶν ἡμικυκλίων τοῦ διὰ μέσου τῶν ζωδίων κρίκου καθεστηκότος ὑπὲρ τὴν γῆν, ἵνα μηδ’ ὑπὸ τούτου τις ἐπιπρόσθεσις γένηται τῆς οἰκουμένης πρὸς τῷ βορειοτέρῳ τιθεμένης ἡμισφαιρίῳ, διόπερ οἱ μὲν εἰρημένοι μεσημβρινοὶ μιᾶς εὐθείας τῆς κατ’ αὐτὸν τὸν ἄξονα ποιοῦνται φαντασίαν, ἅτε τῆς ὄψεως ἐν τῷ δι’ αὐτῶν ἐπιπέδῳ πιπτούσης.

7 7 3 Καὶ ἔτι ὁ διὰ Συήνης παράλληλος ὀρθὸς πρὸς ἐκκειμένην μένει διὰ τὴν ὁμοίαν αἰτίαν, οἱ δὲ λοιποὶ κύκλοι ἐπεστραμμένοι κατὰ τὸ κοῖλον φαίνονται πρὸς τὰς εὐθείας, οἱ μὲν τῆς μεσημβρινῆς διὰ τῶν πόλων, οἱ δὲ παράλληλοι πρὸς τὴν διὰ τῆς Συήνης, καὶ μᾶλλον οἱ πλέον αὐτῶν ἐφ’ ἑκάτερα διεστηκότες, ὡς ὁ μὲν ἀρκτικὸς μᾶλλον τοῦ θερινοῦ τροπικοῦ πρὸς τὰς ἄρκτους ἀνακεκλιμένος, ὁ δὲ χειμερινὸς τροπικὸς μᾶλλον τοῦ ἰσημερινοῦ πρὸς μεσημβρίαν, καὶ ἔτι ὁ ἀνταρκτικὸς τοῦ χειμερινοῦ τροπικοῦ. Διατέθειται δὲ καὶ τὸ ἐγνωσμένον τῆς γῆς μέρος, ὡς μὴ περιῤῥέοντος τοῦ Ὠκεανοῦ μηδαμόθεν, ἀλλὰ μόνοις παρακειμένου τοῖς πρὸς ἰάπυγα καὶ θρασκίαν γεγραμμένοις πέρασι τῆς τε Λιβύης καὶ τῆς Εὐρώπης ἀκολούθως ταῖς τῶν παλαιοτέρων ἱστορίαις.

8 T 1 Κλαυδίου Πτολεμαίου Γεωγραφικῆς Ὑφηγήσεως Βιβλίον η′. Τάδε ἔνεστιν ἐν τῷ ὀγδόῳ· Μετὰ ποίας προθέσεως δεῖ ποιεῖσθαι τὴν κατὰ τοὺς πίνακας διαίρεσιν τῆς οἰκουμένης; Τίνα καθ’ ἕκαστον τῶν πινάκων ὑπογράφειν ἁρμόζει; Ἔκθεσις πασῶν τῶν ὑπογραφῶν, αἷς περιέχονται Εὐρώπης πίνακες ι , χῶραι λ δ (ἢ λ ε) πόλεις ρ ιη, Λιβύης πίνακες δ , χῶραι ι β, πόλεις μ β, Ἀσίας Μεγάλης πίνακες ι β, χῶραι μ θ, πόλεις ρ ϙ.

8 C 4 Γίνονται ἐπὶ τὸ αὐτὸ τῆς οἰκουμένης πίνακες κ ς, χῶραι π ζ , πόλεις τ ν . Μετὰ ποίας προθέσεως δεῖ ποιεῖσθαι τὴν κατὰ τοὺς πίνακας διαίρεσιν τῆς οἰκουμένης; Ὅσα μὲν οὖν ἐχρῆν εἰς τὴν γεωγραφικὴν ὑφήγησιν συνεισενεγκεῖν ἔκ τε τῆς συνεχεστέρας διακριβώσεως τῶν τὰς ἐκτετοπισμένας ἡμῖν χώρας περιελθόντων καὶ τῆς εἰς τὸ προχειρότερον ἅμα καὶ οἰκειότερον τῶν καταγραφῶν ἐπιβολῆς, αὐτάρκως ἔχειν ἡγοῦμαι.

8 1 1 Τὸ γὰρ ἐπιλέγειν κατὰ τὸν αὐτὸν τρόπον τοῖς πρὸ ἡμῶν ὥσπερ ἐπικεφαλαίου, διὰ τίνων τόπων ἕκαστος γράφεται τῶν ἐντασσομένων τῇ καταγραφῇ παραλλήλων καὶ μεσημβρινῶν, —μὴ καὶ γελοῖον ᾖ, πάντων ἁπλῶς τῶν τόπων καὶ τῶν μὴ πιπτόντων εἰς τοὺς ἐκτεθειμένους κύκλους παρακειμένας ἐχόντων τὰς ἐποχὰς τῶν δι’ αὐτῶν γραφομένων παραλλήλων τε καὶ μεσημβρινῶν. Ἐπειδὴ, τίς ἂν γένοιτο τῆς οἰκουμένης ὑπογραφὴ σύμμετρος, ὅλης καθ’ ἕνα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πίνακα λαμβανομένης, ὑπ’ ὄψιν ἡμῖν γέγονεν· ἀκόλουθόν ἐστι προεκθέσθαι τὰς ἐσομένας ὑπογραφὰς κεφαλαιώδεις, εἰ διαιροῦμεν αὐτὴν εἰς πλείους πίνακας, ἕνεκεν τοῦ δύνασθαι πάντα τὰ ἐφοδευόμενα καὶ μετὰ τῆς πρὸς τὸ εὐδηλότερον συμμετρίας κατατάσσειν.

8 1 2 Ἐπὶ μὲν γὰρ τῆς ὑφὲν καταγραφῆς ἀναγκαῖον γίνεται, διὰ τὸ δεῖν συντηρεῖν τοὺς πρὸς ἄλληλα τῶν μερῶν τῆς οἰκουμένης λόγους, τὰ μὲν στενοχωρεῖσθαι διὰ τὸ συνεχὲς τῶν ἐντασσομένων, τὰ δὲ παρέλκειν ἀπορίᾳ τῶν ἐγγραφησομένων. Ὅπερ οἱ πλεῖστοι περιϊστάμενοι πολλαχῇ διαστρέφειν ἠναγκάσθησαν τά τε μέτρα καὶ τὰ σχήματα τῶν χωρῶν ὑπὸ τῶν πινάκων αὐτῶν, ὥσπερ καὶ μὴ ὑπὸ τῆς ἱστορίας χειραγωγηθέντες· καθάπερ ὅσοι τὸ μὲν πλεῖστον μέρος τοῦ πίνακος ἀπένειμαν τῇ Εὐρώπῃ κατὰ τὸ μῆκος καὶ κατὰ τὸ πλάτος, διὰ τὸ πολύχουν καὶ πυκνὸν τῶν ἐντασσομένων, τὸ δὲ ἐλάχιστον τῇ μὲν Ἀσίᾳ κατὰ τὸ μῆκος, τῇ δὲ Λιβύῃ κατὰ τὸ πλάτος διὰ τὸ ἐναντίον. Παρὰ γὰρ ταύτην τὴν αἰτίαν τὸ μὲν Ἰνδικὸν πέλαγος μετὰ τὴν Ταπροβάνην ἐπὶ τὰς ἄρκτους ἀπέστρεψαν, ἐνστάντος αὐτοῖς τοῦ πίνακος πρὸς τὴν ἐπὶ τὰς ἀνατολὰς προχώρησιν, ἐπεὶ μηδὲν εἶχε τοιοῦτον ἐπὶ τῆς ὑπερκειμένης κατὰ τὸ βόρειον Σκυθίας ἀντιπαραγράφειν.

8 1 4 Τὸν δὲ δυτικὸν Ὠκεανὸν ἐπὶ τὰς ἀνατολὰς ἀπέστρεψαν πάλιν, ἐνστάντος αὐτοῖς τοῦ πίνακος ἐπὶ τὴν μεσημβρινὴν διάστασιν, ἐπεὶ μηδ’ ἐνταῦθα τὸ τῆς ἐντὸς Λιβύης βάθος ἢ τὸ τῆς Ἰνδικῆς εἶχέ τι δυνάμενον κατὰ τὸ συνεχὲς ἀντιπαρασταθῆναι τῇ δυτικῇ παραλίῳ· ὡς καὶ διὰ τὰ τοιαῦτα τὴν περὶ τοῦ περιῤῥεῖσθαι τὴν γῆν ὅλην τῷ Ὠκεανῷ δόξαν ἄρξασθαι μὲν ἀπὸ γραφικῶν ἁμαρτημάτων, καταστρέψαι δὲ εἰς ἀσύστατον ἱστορίαν. Ἐπὶ μὲν τοιαύτης κατὰ πίνακας διαιρέσεως ἐκφύγοιμεν ἂν τὸ εἰρημένον σύμπτωμα, εἰ ποιοίμεθα τὰς διαιρέσεις οὕτως· ὥστε τὰς μὲν πολυχουστέρας τῶν χωρῶν, ἢ μόνας, ἢ μετ’ ὀλίγων ἀπολαμβάνειν τὸν πίνακα κατὰ μείζους τῶν κύκλων διαστάσεις, τὰς δὲ ἀπύκνους καὶ μὴ διειλημμένας ὅλας μετὰ πλειόνων ὁμοίων ὑφ’ ἑνὸς περιέχεσθαι πίνακος ἐν ἐλάττοσι τῶν κύκλων διαστάσεσιν. Οὐδὲν γὰρ ἔτι δεῖ καὶ πάντας τοὺς πίνακας ἀλλήλοις εἶναι συμμέτρους, ἀλλὰ μόνα τὰ ἐν ἑκάστῳ διασώζειν τὸν πρὸς ἄλληλα λόγον, ὥσπερ ὅταν μόνην κεφαλὴν ὑπογράφωμεν, τὰ μόνης τῆς κεφαλῆς, ἢ ὅταν μόνην χεῖρα, τὰ μόνης τῆς χειρὸς, οὐκ ἔτι δὲ καὶ τὰ τῆς κεφαλῆς τοῖς τῆς χειρὸς εἰς ἓν, εἰ μὴ ὅταν ὑφ’ ἓν σχῆμα ποιῶμεν ὅλον τὸν ἄνθρωπον.

8 1 5 Ἀλλ’ ὅνπερ τρόπον τὸ πᾶν οὐδὲν κωλύει ποτὲ μὲν αὔξειν, ποτὲ δὲ μειοῦν, οὕτως οὐδὲ τῶν μερῶν, ὅταν ᾖ καθ’ αὑτὰ, τὰ μὲν αὔξειν, τὰ δὲ μειοῦν πρὸς τὰς τῶν ὑποτιθεμένων πινάκων εὐρυχωρίας. Οὐ παρὰ πολὺ δὲ ἔσται τῆς ἀληθείας, καθάπερ ἐν ἀρχῇ τῆς συντάξεως εἴπομεν, κἂν εὐθείας γραμμὰς ἀντὶ τῶν κύκλων, ἐπὶ γοῦν τῶν κατὰ μέρος πινάκων παραγράφωμεν καὶ προσέτι τὰς μεσημβρινὰς μὴ συννευούσας, ἀλλὰ καὶ αὐτὰς παραλλήλους ἀλλήλαις.

8 1 6 Ἐπὶ μὲν γὰρ τῆς ὅλης οἰκουμένης οἱ τοῦ πλάτους καὶ τοῦ μήκους ὅροι, κατὰ μεγάλας λαμβανόμενοι διαστάσεις, ἀξιολόγους ποιοῦσι τὰς τῶν ἄκρων κύκλων παραλλαγάς, ἐπὶ δὲ ἑκάστου τῶν πινάκων οὐκ ἔτι. Διὸ καὶ κατὰ τὸν λόγον τοῦ δίχα τέμνοντος τὸν πίνακα παραλλήλου πρὸς τὸν μέγιστον κύκλον ἐλέγομεν δεῖν ποιεῖσθαι τὰς μοιριαίας παραβολὰς, ἵνα μηδὲ τὸ παρ’ ὅλην τὴν διάστασιν τοῦ πίνακος ἐνδέον ἐπιζητῶμεν, ἀλλὰ μόνον τὴν ἀπὸ τοῦ μεταξὺ πρὸς τὸ ἕτερον πέρας τῶν πινάκων.

8 2 T Τίνα καθ’ ἕκαστον τῶν πινάκων ὑπογράφειν ἁρμόζει; Τῆς τοιαύτης τοίνυν προθέσεως ἐπερχόμενοι τὰς διαιρέσεις, [τοὺς] τῆς Εὐρώπης ἐποιησάμεθα πίνακας δέκα, τῆς Λιβύης πίνακας τέσσαρας, τῆς δὲ ὅλης Ἀσίας πίνακας δώδεκα.

8 2 1 Τὰς δὲ καθ’ ἕκαστον ὑπογραφὰς ἐξεθέμεθα, προτάσσοντες μὲν, τίνος τέ ἐστιν ὁ πίναξ ἠπείρου, καὶ πόσος, καὶ ποίας περιέχει χώρας, καὶ τίνα λόγον ἔχει ὁ διὰ μέσου αὐτοῦ παράλληλος ἔγγιστα πρὸς τὸν μεσημβρινὸν, καὶ τίς ὅλου τοῦ πίνακος γίνεται περιορισμός· ὑποτάσσοντες δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν καθ’ ἑκάστην χώραν διασήμων πόλεων τὰ μὲν ἐξάρματα μετειλημμένα εἰς τὰ μεγέθη τῶν ἐν αὐτοῖς μεγίστων ἡμερῶν, τὰς δὲ κατὰ μῆκος ἐποχὰς εἰς τὰς ἀπὸ τοῦ δι’ Ἀλεξανδρείας μεσημβρινοῦ διαστάσεις, ἤτοι πρὸς ἀνατολὰς ἢ πρὸς δυσμὰς μεγέθεσι τῶν ἔγγιστα ὡρῶν ἰσημερινῶν, καὶ ὧν ὁ ζωδιακὸς ὑπέρκειται, πότερον ἅπαξ ἢ δὶς ὁ ἥλιος γίνεται κατὰ κορυφὴν, καὶ πῶς διακείμενος πρὸς τὰς τροπάς. Προσεθήκαμεν δ’ ἂν, καὶ τίνας τῶν ἀπλανῶν ἔχουσιν ἐπὶ τῶν κατὰ κορυφὴν τόπων, εἰ συντηροῦντες ἐφαίνοντο τὰ πρὸς τὸν ἰσημερινὸν πλάτη, τουτέστιν, εἰ διὰ τῶν αὐτῶν αἰεὶ παραλλήλων ἐφέροντο.

8 2 3 Ἐπειδήπερ ἀπεδείξαμεν ἐν τῇ μαθηματικῇ συντάξει, ὅτι μεταπίπτει καὶ ἡ τῶν ἀπλανῶν σφαῖρα εἰς τὰ ἑπόμενα τοῦ κόσμου παρὰ τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα, καὶ οὐ περὶ τοὺς τοῦ ἰσημερινοῦ πόλους, ἀλλὰ περὶ τοὺς τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, καθάπερ καὶ αἱ τῶν πλανουμένων· ὡς διὰ τοῦτο μὴ δύνασθαι τοὺς αὐτοὺς ἀστέρας τῶν αὐτῶν τόπων αἰεὶ γίνεσθαι κατὰ κορυφὴν, ἀλλὰ μεταχωρεῖν ἐξ ἀνάγκης, τοὺς μὲν αὐτῶν ἐπὶ τοὺς βορειοτέρους τόπους τῶν προτέρων, τοὺς δὲ ἐπὶ τοὺς νοτιωτέρους παρέλκειν ἡμῖν ἔδοξεν ἡ τοιαύτη προσθήκη τῆς ὑπογραφῆς, ἐξὸν ἐπὶ τῆς κατὰ τὴν τοιαύτην ὑπόθεσιν ἀστεριζομένης ἡμῖν σφαίρας τὴν ἐν τοῖς ἐπιζητουμένοις χρόνοις θέσιν αὐτῆς πρὸς τὸν δι’ ἀμφοτέρων τῶν πόλων κύκλον καθιστάντας καὶ περιφέροντας ὅλην παρὰ τὴν τοῦ μένοντος μεσημβρινοῦ διῃρημένην πλευρὰν σκοπεῖν τὸ σημεῖον αὐτοῦ, τὸ τοσαύτας ἀπέχοντος τοῦ ἰσημερινοῦ μοίρας, ὅσας καὶ ὁ διὰ τοῦ ζητουμένου τόπου ἐπὶ τὰ αὐτὰ παράλληλος καταλαμβάνει προχείρως, εἴτε μηδ’ ὅλως τις ἐνεχθήσεται δι’ ἐκείνου τοῦ σημείου τῶν ἀπλανῶν, εἴτε εἰσὶ πλείους, καὶ τίς, ἢ τίνες. Τούτων δὴ προδιωρισμένων, ἀρκτέον τῆς λοιπῆς προθέσεως ἐντεῦθεν.

8 3 T Εὐρώπης Πίναξ αʹ. Ὁ πρῶτος πίναξ τῆς Εὐρώπης περιέχει τὰς Βρετανικὰς νήσους σὺν ταῖς περὶ αὐτὰς νήσοις· ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ι α ἔγγιστα πρὸς τὰ κ .

8 3 2 Περιορίζεται δὲ ὁ πίναξ πάντοθεν Ὠκεανῷ, ἀπὸ μὲν ἀνατολῶν Γερμανικῷ, ἀπὸ δὲ μεσημβρίας Βρετανικῷ καὶ τῷ καλουμένῳ Οὐεργιουίῳ, ἀπὸ δὲ δύσεως τῷ δυτικῷ, ἀπὸ δὲ ἄρκτων Ὑπερβορείῳ καὶ τῷ καλουμένῳ Δουηκαλεδονίῳ. Ἡ μὲν οὖν Θούλη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν κ , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δυσμὰς ὥρας ἰσημερινὰς β .

8 3 4 Τῆς δὲ Ἰουερνίας νήσου αἱ ἐπίσημοι πόλεις· ἡ μὲν ὁμώνυμος τῇ νήσῳ πόλις Ἰουερνὶς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ι η , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δυσμὰς ὥραις τρισὶ καὶ τετάρτῳ. Ἡ δὲ Ῥαίβα τὴν μεγάλην ἡμέραν ἔχει ὡρῶν ι η ∠ ʹιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις τρισὶ καὶ πέμπτῳ.

8 3 6 Τῆς δὲ Ἀλουΐωνος νήσου τὸ μὲν Λονδίνιον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι η , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶ καὶ γοʹ. Τὸ δὲ Ἐβόρακον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ζ ∠ ʹγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β γʹ.

8 3 8 Τὸ δὲ Κατουρακτόνιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι η , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β γʹ. Τὸ δὲ Πτερωτὸν στρατόπεδον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι η ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ϛʹ.

8 3 10 Δούμνα δὲ ἡ νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιθ , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β . Ἡ δὲ Οὐηκτὶς νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ϛ γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶ τρίτῳ.

8 4 T Εὐρώπης Πίναξ βʹ. Ὁ δεύτερος πίναξ τῆς Εὐρώπης περιέχει τὴν Ἱσπανίαν πᾶσαν ἐν ταῖς τρισὶν ἐπαρχίαις σὺν ταῖς παρακειμέναις νήσοις.

8 4 1 Ὁ δὲ διὰ μέσου αὐτῆς παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ γ πρὸς τὰ δ ἔγγιστα. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν τοῖς Πυρηναίοις ὄρεσιν, ἀπὸ δὲ μεσημβρίας τῷ τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βαλλιαρικῷ καὶ τῷ Ἰβηρικῷ πελάγει καὶ τῷ Ἡρακλείῳ πορθμῷ μέχρι τῆς ἔξω θαλάσσης, ἀπὸ δὲ δύσεως τῷ δυτικῷ Ὠκεανῷ, ἀπὸ δὲ ἄρκτων Κανταβρίῳ Ὠκεανῷ.

8 4 3 Τῆς μὲν οὖν Λουσιτανίας ἐπαρχίας ἡ μὲν Νώρβα Καισάρεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ι δ ∠ ʹγιβ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις ἰσημεριναῖς γ καὶ ∠ ʹ· ἡ δὲ Αὐγούστα Ἠμερίτα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ʹγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ ∠ ʹ. Τῆς δὲ Βαιτικῆς ἡ μὲν Ἱσπαλὶς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ γοʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ ∠ ʹκ· ἡ δὲ Κορδύβη τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ γιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ γιεʹ.

8 4 5 Τῆς δὲ Ταῤῥακωνησίας ἡ μὲν Ἀστουρίκα Αὐγούστα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε γιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ γιεʹ· ἡ δὲ Νέα Καρχηδὼν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ ϛʹ· ἡ δὲ Ταῤῥακὼν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ∠ ʹγιβ· ἡ δὲ Κλουνία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ γʹ· ἡ δὲ Καισάρεια Αὐγούστα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ ιεʹ. Γάδειρα δὲ ἡ νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ γʹ. Εὐρώπης Πίναξ γʹ.

8 5 1 Ὁ τρίτος πίναξ τῆς Εὐρώπης περιέχει τὰς Γαλλίας ἐν τέτρασιν ἐπαρχίαις σὺν ταῖς παρακειμέναις νήσοις. Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ β πρὸς τὰ γ . Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Γερμανίᾳ Μεγάλῃ, Ἰταλίᾳ καὶ Ῥαιτίᾳ, ἀπὸ δὲ μεσημβρίας τῇ Γαλλικῇ θαλάσσῃ, ἀπὸ δὲ δύσεως τοῖς Πυρηναίοις ὄρεσι καὶ τῷ Ἀκουϊτανικῷ κόλπῳ, ἀπὸ δὲ ἄρκτων τῷ Βρετανικῷ Ὠκεανῷ.

8 5 3 Τῆς μὲν οὖν Ἀκουϊτανίας Κελτογαλατίας τὸ μὲν Μεδιολάνιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹδ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις ἰσημεριναῖς β γʹ. Ἡ δὲ Βουρδίγαλα τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ∠ ʹγ.

8 5 5 Τῆς δὲ Λουγδουνησίας Γαλλίας τὸ μὲν Αὐγουστόδουνον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹδ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β γιβʹ· τὸ δὲ Λούγδουνον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ∠ ʹ. Τῆς δὲ Βελγικῆς Γαλλίας τὸ μὲν Γησοριακὸν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ϛ ∠ ʹγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ∠ ʹδ· τὸ δὲ Δουροκόττορον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ϛ , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β γιβʹ.

8 5 7 Τῆς δὲ Ναρβωνησίας Κελτογαλατίας ἡ μὲν Μασσαλία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε δʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β γιεʹ· ἡ δὲ Ναρβὼν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε δʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ∠ ʹιβ· ἡ δὲ Οὐϊέννα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ∠ ʹ. ἡ δὲ Νέμαυσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε γιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ∠ ʹιεʹ. Εὐρώπης Πίναξ δ.

8 6 1 Ὁ τέταρτος πίναξ τῆς Εὐρώπης περιέχει τὴν Μεγάλην Γερμανίαν σὺν ταῖς περὶ αὐτὴν νήσοις. Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ γ πρὸς τὰ ε . Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἰάζυξι Μετανάσταις, καὶ Σαρματίᾳ τῇ ἐν Εὐρώπῃ, ἀπὸ δὲ μεσημβρίας Ῥαιτίᾳ καὶ Νωρικῷ καὶ δυσὶ Παννονίαις, ἀπὸ δὲ δυσμῶν τῇ διὰ Ῥήνου ποταμοῦ Γαλλίᾳ τῇ Βελγικῇ, ἀπὸ δὲ ἄρκτων Γερμανικῷ Ὠκεανῷ.

8 6 3 Τῶν δὲ ἐν τῇ Γερμανίᾳ διασήμων πόλεων ἡ μὲν Ἀμάσεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ϛ ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶν ἔγγιστα· ἡ δὲ Λουππία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ϛ ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις α γʹ· τὸ δὲ

Ἐβουρόδουνον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹγιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ καὶ τρίτῳ. Ἡ δὲ Σκανδία νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι η , καὶ διέστηκεν Ἀλεξανδρείας καὶ δύσεως ὥρᾳ μιᾷ.

87T Εὐρώπης Πίναξ εʹ. Ὁ πέμπτος πίναξ τῆς Εὐρώπης περιέχει Ῥαιτίαν, καὶ Οὐϊνδελκίαν, καὶ Νωρικόν, καὶ τὰς δύο Παννονίας, καὶ τὴν Ἰλλυρίδα πᾶσαν σὺν ταῖς παρακειμέναις νήσοις.

871 Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ μ γ πρὸς τὰ ξ . Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἰάζυξι Μετανάσταις καὶ Μυσίᾳ τῇ ἄνω, ἀπὸ δὲ μεσημβρίας Ἰταλίᾳ καὶ Ἀδρίου κόλπου καὶ Μακεδονίας μέρεσιν, ἀπὸ δὲ δυσμῶν Γαλλίας καὶ Γερμανίας μέρεσιν, ἀπὸ δὲ ἄρκτων τῇ Μεγάλῃ Γερμανίᾳ διὰ τοῦ ποταμοῦ Δανουβίου.

873 Τῆς μὲν οὖν Ῥαιτίας τὸ μὲν Βριγάντιον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β . Οὐϊνδελκίας ἡ δὲ Αὐγούστα Οὐϊνδελικῶν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ∠ ʹγ.

875 Τοῦ δὲ Νωρικοῦ ἡ μὲν Ἀρελάτη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ∠ ʹδ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γʹ· τὸ δὲ Ἰούλιον Καρνικὸν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γιεʹ. Τῆς δὲ ἄνω Παννονίας τὸ μὲν Παταύϊον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ∠ ʹ· ἡ δὲ Σκαρβαντία ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γʹ· ἡ δὲ Ἤμωνα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ∠ ʹγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ∠ ʹιε.

877 Τῆς δὲ κάτω Παννονίας τὸ μὲν Σέρβινον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ∠ ʹδ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ καὶ ἕκτῳ· ἡ δὲ Μουρσία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ∠ ʹη, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ςʹ· τὸ δὲ Σίρμιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ιεʹ. Τῆς δὲ Ἰλλυρίδος ἡ μὲν Ἰάδερ τῆς Λιβουρνίας τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α εʹ· ἡ δὲ Σιδρῶνα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε γιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ηʹ· αἱ δὲ Σαλῶναι τῆς Δαλματίας ἔχουσι τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε δʹ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ηʹ· ἡ δὲ Ναρβῶνα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ιεʹ.

879 Ἡ δὲ Σκαρδῶνα νῆσος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ εʹ ιεʹ. Εὐρώπης Πίναξ ςʹ.

881 Ὁ ἕκτος πίναξ τῆς Εὐρώπης περιέχει Ἰταλίαν ὅλην, καὶ τὴν Κύρνον νῆσον, καὶ τὰς περὶ αὐτὰς νήσους. Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ γ πρὸς τὰ δ . Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἀδρίᾳ κόλπῳ καὶ Ἰωνίῳ πελάγει, ἀπὸ δὲ μεσημβρίας Λιγυστικῷ πελάγει καὶ Τυῤῥηνικῷ καὶ μέρει τοῦ Ἀδριατικοῦ, ἀπὸ δὲ δυσμῶν [τοῖς παρὰ τὴν Γαλλίαν] Ἀλπίοις ὄρεσιν, ἀπὸ δὲ ἄρκτων τοῖς τε ὑπὸ τὴν Ῥαιτίαν καὶ Οὐϊνδελκίαν Ἀλπίοις ὄρεσι καὶ τῷ ὑπὸ τὸ Νωρικὸν Ἀλπίῳ ὄρει καλουμένῳ τε Καρουάγκᾳ καὶ μέρει τοῦ Ἀδρίου κόλπου.

883 Τῶν μὲν οὖν ἐν τῇ Ἰταλίᾳ ἐπισήμων πόλεων τὸ μὲν βασίλειον Ῥώμη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ι ε ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ∠ ʹηʹ· ἡ δὲ Νίκαια Μασσαλιωτῶν τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε δʹ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ηʹ· αἱ δὲ Ταῤῥακίναι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ι ε ιβʹ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ∠ ʹ· ἡ δὲ Νεάπολις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ʹγιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γʹ· τὸ δὲ Βρεντέσιον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ʹγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ςʹ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

8 8 5 Ὁ δὲ Ἀγκὼν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α καὶ ιεʹ· ἡ δὲ Ῥάβεννα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν μεσημβρινῶν ι ε γιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γιεʹ· ἡ δὲ Ἀκουιληΐα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ∠ ʹδ· ἡ δὲ Βενέουεντος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ιεʹ· ἡ δὲ Καπύη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γʹ.

8 8 7 Τῆς δὲ Κύρνου νήσου ἡ μὲν Ἀλερία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ʹγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ἔγγιστα· ἡ δὲ Μαριανὴ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ἔγγιστα. Εὐρώπης Πίναξ ζʹ.

8 9 1 Ὁ ἕβδομος πίναξ τῆς Εὐρώπης περιέχει Σαρδ ώ, Σικελίαν, καὶ τὰς περὶ αὐτὰς νήσους. Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ δ πρὸς τὰ ε . Περιορίζεται δὲ ὁ πίναξ πάντοθεν πελάγεσιν, ἀπὸ μὲν ἀνατολῶν τῷ Ἀδριατικῷ, ἀπὸ δὲ μεσημβρίας τῷ Ἀφρικανῷ, ἀπὸ δὲ δύσεως τῷ Σαρδώῳ, ἀπὸ δὲ ἄρκτων Λιγυστικῷ καὶ Τυῤῥηνικῷ.

8 9 3 Τῆς μὲν οὖν Σαρδοῦς νήσου οἱ μὲν Σόλκοι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ἰσημερινῶν ι δ ∠ ʹιβ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ ἡμίσει τρίτῳ καὶ πεντεκαιδεκάτῳ ἡ δὲ Κάραλλις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις α ∠ ʹγ· ὁ δὲ Πύργος [ Λ ι ]βίσσωνος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ∠ ʹδ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ἔγγιστα· ἡ δὲ Γουρουλλὶς ἡ Νέα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ἔγγιστα. Τῆς δὲ Σικελίας τὸ μὲν Λιλύβαιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ∠ ʹιε· αἱ δὲ Συρακοῦσαι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ι δ ∠ ʹη, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γιεʹ· ἡ δὲ Μεσήνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ʹδ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γιεʹ· αἱ δὲ Κεντούριπαι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ι δ γʹ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις α γηʹ· ἡ δὲ Σεγέστα τὴν μεγάλην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ∠ ʹιε· ἡ δὲ Κατάνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ γοʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γιεʹ.

8 10 T Εὐρώπης Πίναξ ηʹ. Ὁ ὄγδοος πίναξ τῆς Εὐρώπης περιέχει τὴν ἐν αὐτῇ Σαρματίαν, καὶ τὴν Ταυρικὴν Χερσόνησο ν.

8 10 1 ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ι α πρὸς τὰ κ . Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Βοσπόρῳ Κιμμερικῷ καὶ Μαιώτιδι λίμνῃ καὶ Τανάϊδι ποταμῷ κατὰ τὴν ἐν τῇ Ἀσίᾳ Σαρματίαν, ἀπὸ δὲ μεσημβρίας Ποντικῇ θαλάσσῃ καὶ Μυσίας τῆς κάτω μέρει καὶ Δακίᾳ, καὶ Ἰάζυξι Μετανάσταις, ἀπὸ δὲ δύσεως τοῖς καλουμένοις Σαρματικοῖς ὄρεσι καὶ Γερμανίᾳ καὶ Οὐϊστούλᾳ ποταμῷ, ἀπὸ δὲ ἄρκτων Οὐενεδικῷ κόλπῳ τοῦ Σαρματικοῦ Ὠκεανοῦ, καὶ ἔτι ἀγνώστῳ γῇ.

8 10 3 Τῶν δὲ διασημοτέρων ἐν τῇ Σαρματίᾳ πόλεων ἡ μὲν Ταμυράκη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ι ϛ , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας ἰσημερινῆς πεντεκαιδεκάτῳ. Τὸ δὲ Ναύαρον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ϛ δʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ὀγδόῳ· ἡ δὲ Ὀλβία ἡ καὶ Βορυσθενὶς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ϛ ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς εʹ. Τῆς δὲ Ταυρικῆς Χερσονήσου ἡ μὲν Θεοδοσία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ∠ ʹγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς εʹ· ἡ δὲ Παντικαπαία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ∠ ʹγιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας δʹ.

8 11 T

Εὐρώπης Πίναξ θʹ. Ὁ ἔννατος πίναξ τῆς Εὐρώπης περιέχει Ἰάζυγας Μετανάστας καὶ Δακίαν, καὶ τὰς δύο Μυσίας, καὶ Θρᾴκην, καὶ Χερσόνησο ν. [5]

8 11 1 Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ μ γ πρὸς τὰ ξ . Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ποντικῇ θαλάσσῃ καὶ Θρᾳκίῳ Βοσπόρῳ καὶ Προποντίδι καὶ Ἑλλησπόντῳ, ἀπὸ δὲ μεσημβρίας Αἰγαίῳ πελάγει καὶ Μακεδονίᾳ, ἀπὸ δὲ δύσεως Παννονίᾳ τῇ κάτω καὶ Δαλματίᾳ, ἀπὸ δὲ ἄρκτων Σαρματίᾳ τῇ ἐν Εὐρώπῃ. [5]

8 11 3 Τὸ μὲν οὖν Βόρμανον τῶν Ἰαζύγων ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ς , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις α ιβʹ. Τῆς δὲ Δακίας αἱ μὲν Σαλῖναι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ι ε ∠ ʹγ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ ʹγ· ἡ δὲ Ζαρμισογέθουσα τὸ βασίλειον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ ʹγ. [5]

8 11 5 Τῆς δὲ Μυσίας τῆς ἄνω ἡ μὲν Ῥαιτιαρία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε δʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ ʹδ. οἱ δὲ Σκοῦποι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ι ε εʹ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ ʹ καὶ δʹ. Τῆς δὲ Μυσίας τῆς κάτω ἡ μὲν Ὀδησσὸς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γʹ· ἡ δὲ Οἶσκος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε δηʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ ʹιβ. [5]

8 11 7 Τῆς δὲ Θρᾴκης ἡ μὲν Αἶνος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς τρίτῳ καὶ ὀγδόῳ· ἡ δὲ Ἀπολλωνία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε γιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας γʹ· τὸ δὲ Βυζάντιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε δʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας δʹ Ἡ δὲ Πέρινθος ἔχει τὴν μεγίστην ὡρῶν ι ε ςʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ γʹ. ἡ δὲ Νικόπολις τὴν μεγίστην ἔχει ὡρῶν ι ε ςʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ ʹιε. ἡ δὲ Λυσιμαχία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ γιεʹ. Ἡ δὲ Προκό [ν ]νησος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς τρίτῳ ἔγγιστα. [15]

8 11 9 Τῆς δὲ Χερσονήσου ἡ μὲν Ἐλαιοῦς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τρίτῳ. Ἡ δὲ Σηστὸς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τρίτῳ.

8 12 T Εὐρώπης Πίναξ ιʹ. Ὁ δέκατος πίναξ καὶ τελευταῖος τῆς Εὐρώπης περιέχει Μακεδονίαν καὶ τὴν Ἤπειρον καὶ τὴν Ἀχαΐαν καὶ τὴν Πελοπόννησον καὶ τὴν Κρήτην καὶ τὴν Εὔβοιαν σὺν ταῖς περὶ αὐτὰ νήσοις. [5]

8 12 1 Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει, ὃν τὰ ζ πρὸς τὰ θ . Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Αἰγαίῳ πελάγει καὶ Μυρτώῳ καὶ Καρπαθίῳ, ἀπὸ δὲ μεσημβρίας Ἀδριατικῷ πελάγει καὶ Λιβυκῷ, ἀπὸ δὲ δύσεως Ἰωνίῳ πελάγει καὶ Ἀδριατικῷ, ἀπὸ δὲ ἄρκτων Δαλματίᾳ καὶ Μυσίᾳ τῇ ἄνω καὶ Θρᾴκῃ. [5]

8 12 3 Τῶν μὲν οὖν ἐν τῇ Μακεδονίᾳ διασήμων πόλεων τὸ μὲν Δυῤῥάχιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ἰσημερινῶν ι ε , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας διμοίρῳ· ἡ δὲ Θεσσαλονίκη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ʹιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς διμοίρῳ· ἡ δὲ Ἀμφίπολις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γʹ ηʹ· ἡ δὲ Ἡράκλεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι ε ηʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας ἡμίσει καὶ γʹ· ἡ δὲ Ἔδεσσα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ʹγιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γηʹ· ἡ δὲ Πέλλα ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ∠ ʹγιβʹ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δύσεις ὥρας τὸ γ ιε′· ἡ δὲ Λάρισσα τῶν Πελασγιωτῶν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ∠ ′δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας ∠ ′ιε′· Ἡ δὲ Κασάνδρεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ′γιε′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ ′η′· ἡ δὲ Λῆμνος νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι ε , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ἡμίσει.

8 12 12 Τῆς δὲ Ἠπείρου ἡ μὲν Νικόπολις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ∠ ′η′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας ἡμίσει καὶ τρίτῳ· ἡ δὲ Ἀμβρακία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ′δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας ἡμίσει καὶ τρίτῳ ἔγγιστα.

8 12 14 ἡ δὲ ἐν τῇ Κερκύρᾳ νήσῳ πόλις ὁμώνυμος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ∠ ′η, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳα · ἡ δὲ Κεφαληνία νῆσος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ′ιβ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας γε′.

8 12 16 Τῆς δὲ Ἀχαΐας αἱ μὲν Βοιώτιαι Θῆβαι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ι δ ∠ ′δ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ ∠ ′· τὰ δὲ Μέγαρα τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ι δ ∠ ′η′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας τὸ ∠ ′ιε· αἱ δὲ Ἀθῆναι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ι δ ∠ ′ιβ′, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ἡμίσει.

8 12 19 Τῆς δὲ Πελοποννήσου ἡ μὲν Μεσσήνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ γιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας γιβ′· ἡ δὲ Κόρινθος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ′ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας ∠ ′η′ ἡ δὲ Τέγεα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ∠ ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ ∠ ′ε· τὸ δὲ Ἄργος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ∠ ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας ∠ ′η· ἡ δὲ Λακεδαίμων ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ∠ ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας διμοίρῳ.

8 12 24 Τῆς δὲ Εὐβοίας ἡ μὲν Χαλκὶς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ∠ ′δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ ∠ ′· ἡ δὲ Κάρυστος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ∠ ′η, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας γιε′. Τῆς δὲ Κρήτης νήσου ἡ μὲν Γόρτυνα ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ δη′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γιβ′· ἡ δὲ Κνωσσὸς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν μεσημβρινῶν ι δ γη′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γ′.

8 13 T Λιβύης Πίναξ α′. Ὁ πρῶτος πίναξ τῆς Λιβύης περιέχει τὰς δύο Μαυριτανίας, τήν τε Τιγγιτανὴν καὶ τὴν Καισαρηνσία ν.

8 13 1 Ὁ δὲ διὰ μέσου παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ι γ πρὸς τὰ ιε. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἀφρικῇ, ἀπὸ δὲ μεσημβρίας τῇ ἐντὸς Λιβύῃ κατὰ Γαιτουλίαν, ἀπὸ δὲ δύσεως τῷ δυτικῷ Ὠκεανῷ, ἀπὸ δὲ ἄρκτων Ἡρακλείῳ πορθμῷ καὶ Ἰβηρικῷ πελάγει καὶ Σαρδῴῳ.

8 13 3 Τῶν μὲν οὖν ἐν τῇ Τιγγιτανῇ Μαυριτανίᾳ διασήμων πόλεων ἡ μὲν Τίγγις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ι δ ∠ ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ ∠ ′ ιβ′. Ἡ δὲ Ζιλία (ἢ Ζειλία) τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ γιε′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ ∠ ′ι· ἡ δὲ Λὶξ ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ γιε′· καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ ∠ ′ιβ· ἡ δὲ Οὐολουβιλὶς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ γ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας γ ∠ ′.

8 13 7 Τῆς δὲ Καισαρηνσίας Μαυριτανίας ἡ μὲν Κάρτινα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ γ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ ∠ ′ιε′· ἡ δὲ Ἰὼλ Καισάρεια ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ δ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις μ ∠ ′γιε· αἱ δὲ Σάλδαι τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ι δ ϛ′, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας β ∠ ′ιε· τὸ δὲ Ὄππιδον Νέον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ καὶ ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶ γ′ καὶ ιε′· ἡ δὲ Ζουγάβαῤῥι τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ε′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β βγ′ καὶ ιε′· ἡ δὲ Τουβούσουπτος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ η′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις μ ∠ ′.

8 14 T Λιβύης Πίναξ β′ Ὁ δεύτερος πίναξ τῆς Λιβύης περιέχει τὴν Ἀφρικὴν καὶ τὰς περὶ αὐτὴν νήσους.

8 14 1 Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ιγ πρὸς τὰ ι ε . Καὶ περιορίζεται δὲ ὁ πίναξ, ἀπὸ μὲν ἀνατολῶν Κυρηναϊκῇ, ἀπὸ δὲ μεσημβρίας τῇ ἐντὸς Λιβύῃ κατὰ Γαιτουλίαν καὶ τὴν Ἔρημον, ἀπὸ δὲ δύσεως Μαυριτανίᾳ τῇ Καισαρηνσίᾳ, ἀπὸ δὲ ἄρκτων Ἀφρικανῷ πελάγει.

8 14 3 Τῶν δὲ ἐν τῇ Ἀφρικῇ διασήμων πόλεων Θάβρακα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ι δ ϛ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶν ἔγγιστα· ἡ δὲ Ἰτύκη ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ε′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις α ∠ ′δ· ἡ δὲ Καρχηδὼν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ε′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας α ∠ ′δ′· ἡ δὲ Ἀδρούμητος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ε′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας α ∠ ′ιβ′· ἡ δὲ Μεγάλη Λέπτις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ η′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ καὶ πέμπτῳ· ἡ δὲ Κίρτα Ἰουλία ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶ καὶ δ′· ἡ δὲ Σίκα Οὐενερία ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραιςβ · ἡ δὲ Βούλλα Ῥηγία ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ η′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραιςβ · ἡ δὲ Οὔθινα ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας α ∠ ′δ· ἡ δὲ Θύσδρος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ϛ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις α ∠ ′ιε· ἡ δὲ Μῆνιγξ νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις α γιε′· ἡ δὲ Κόσσυρα (ἢ Κόσσουρα) νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ γ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ καὶ ἕκτῳ· ἡ δὲ Μελίτη νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ δ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γ′ καὶ η′.

8 15 T Λιβύης Πίναξ γ′. Ὁ τρίτος πίναξ τῆς Λιβύης περιέχει τὴν Κυρηναϊκὴν καὶ Αἴγυπτον σὺν ταῖς παρακειμέναις νήσοις.

8 15 1 Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ν γ πρὸς τὰ ξ . Περιορίζεται δὲ ὁ πίναξ, ἀπὸ μὲν ἀνατολῶν Ἰουδαίᾳ καὶ Ἀραβίᾳ Πετραίᾳ καὶ Ἀραβικῷ κόλπῳ, ἀπὸ δὲ μεσημβρίας τῇ ἐντὸς Λιβύῃ Ἐρήμῳ καὶ τῇ πρὸς Αἴγυπτον Αἰθιοπίᾳ, ἀπὸ δὲ δύσεως Ἀφρικῇ καὶ τῇ Μεγάλῃ Σύρτει καὶ μέρει τῆς ἐντὸς Λιβύης ἀπὸ δὲ ἄρκτων Λιβυκῷ πελάγει καὶ Αἰγυπτίῳ.

8 15 3 Τῶν μὲν οὖν ἐν τῇ Κυρηναϊκῇ διασήμων πόλεων ἡ μὲν Βερενίκη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ι δ δ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας α ἰσημερινῆς γε′· ἡ δὲ Ἀρσινόη ἡ καὶ Τεύχειρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς διμοίρῳ καὶ πεντεκαιδεκάτῳ· ἡ δὲ Πτολεμαῒς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ η′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας ∠ ′ δ′· ἡ δὲ Ἀπολλωνία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ η′, καὶ διέστηκεν Ἀλεξανδρείας μιᾶς διμοίρῳ· ἡ δὲ Κυρήνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς διμοίρῳ.

8 15 8 Τῆς δὲ Μαρμαρικῆς Λιβύης ἡ μὲν Μεγάλη Χερσόνησος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας α ιε′. Τῆς δὲ Λιβύης τὸ Παραιτόνιον τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεγίστην ἡμέραν ἔχει ὡρῶν ι δ ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τετάρτῳ.

8 15 10 Τῆς δὲ Αἰγύπτου ἡ μὲν Ἀλεξάνδρεια ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ιγʹ, καὶ διέστηκεν τοῦ διὰ τῶν Μακάρων νήσων μεσημβρινοῦ πρὸς ἀνατολὰς ὥραιςδ · Τὸ δὲ Πηλούσιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας πέμπτῳ· ἡ δὲ Μέμφις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι δ , καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας ὀγδόῳ.

8 15 13 Τῆς δὲ καλουμένης Θηβαΐδος ἡ Πτολεμαῒς Ἑρμείου τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι γ ∠ ʹδʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας ὀγδόῳ· ἡ δὲ Μεγάλη Διὸς πόλις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι γ ∠ ʹηʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας ὀγδόῳ· Ἡ δὲ Συήνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι γ ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας τὸ ιʹ, ὁ δὲ ἥλιος ἅπαξ τοῦ ἔτους ἐν αὐτῇ γίνεται κατὰ κορυφὴν, ὅταν ἐπ’ αὐτὰς ᾖ τὰς θερινὰς τροπάς. [5]

8 15 16 Ὁ δὲ Ἄμμων ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι γ ∠ ʹγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας γʹ. Ἡ δὲ Μεγάλη Ὄασις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι γ γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας τὸ ιεʹ.

8 15 18 Ὁ δὲ Μυὸς ὅρμος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι γ ∠ ʹδ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς δʹ· ἡ δὲ Βερενίκη ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ι γ ∠ ʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς τὸ δʹ· ὁ δὲ ἥλιος ἅπαξ τοῦ ἔτους ἐν αὐτῇ γίνεται κατὰ κορυφὴν, ὅταν ἐπ’ αὐτὰς ᾖ τὰς θερινὰς τροπάς. [5]

8 16 T Λιβύης Πίναξ δʹ. Ὁ τέταρτος καὶ τελευταῖος πίναξ τῆς Λιβύης περιέχει τήν τε ἐντὸς Λιβύην, καὶ τὴν Αἰθιοπίαν, τήν τε ὑπὸ Αἴγυπτον, καὶ τὴν ἐντὸς σὺν ταῖς παρακειμέναις αὐταῖς νήσοις. [5]

8 16 1 Ὁ δὲ διὰ μέσου παράλληλος τὸν αὐτὸν ἐγγὺς λόγον ἔχει πρὸς τὸν μεσημβρινόν. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἀραβίῳ κόλπῳ καὶ Ἐρυθρᾷ θαλάσσῃ καὶ Βαρβαρικῷ πελάγει καὶ μέρει τοῦ Ἰνδικοῦ πελάγους, ἀπὸ δὲ μεσημβρίας ἀγνώστῳ γῇ, καὶ ἀπὸ δύσεως ἀγνώστῳ γῇ καὶ δυτικῷ Ὠκεανῷ, ἀπὸ δὲ ἄρκτων ταῖς τε δυσὶ Μαυριτανίαις καὶ Ἀφρικῇ καὶ Κυρηναϊκῇ καὶ Αἰγύπτῳ. [5]

8 16 3 Τῶν μὲν οὖν κατὰ τὴν ἐντὸς Λιβύην διασημοτέρων πόλεων αἱ μὲν Αὐτολάλαι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ἰσημερινῶν ι γ ∠ ʹ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις τρισὶ καὶ τρίτῳ· ὁ δὲ ἥλιος ἅπαξ τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ὅταν ἐπ’ αὐτὰς ᾖ τὰς θερινὰς τροπάς. Ἡ δὲ Ἰάρζειθα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ι β ∠ ʹγιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας γ γʹ, ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐν αὐτῇ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ’ ἑκάτερα μοίρας μ η γʹ. [5]

